ξε΄. Σημεῖον ὑπομονῆς, ἡ τῶν πόνων φιλία. Εἰς οὓς θαῤῥῶν ὁ νοῦς, ἐλπίζει τυχεῖν τῶν ἐπηγγελμένων, καὶ ἐκφυγεῖν τὰ ἠπειλημένα.

ξς΄. Προσδοκία τῶν μελλόντων ἀγαθῶν, συνάπτει τὸν νοῦν τοῖς προσδοκουμένοις· ἐν αὐτοῖς δὲ χρονίζων, ἐπιλανθάνεται τῶν παρόντων.

ξζ΄. Ῥίπτει τὰ παρόντα, ὁ τῶν ἐλπιζομένων γευσάμενος. Ὅλον γὰρ τὸν πόθον, ἐν ἐκείνοις ἐκένωσεν.

ξη΄. Ὁ Θεός ἐστιν ὁ τὰ μέλλοντα ἐπαγγειλάμενος ἀγαθά, ᾧ πιστεύων ὁ ἐγκρατής, ὡς παρόντα ποθεῖ τὰ μέλλοντα.

ξθ΄. Σημεῖον τοῦ ἐν τοῖς ἐλπιζομένοις ἀγαθοῖς διατρίβειν τὸν νοῦν, τό, λήθην ποιεῖσθαι παντελῆ τῶν ἐνταῦθα, πλατύνεσθαι δὲ αὐτὸν ἐν τῇ γνώσει τῶν μελλόντων.

ο΄. Καλὴ ἡ ἀπάθεια, ἣν ὁ Θεὸς διδάσκει τῆς ἀληθείας, ἀπεντεῦθεν πληροφορῶν τὴν θεοφιλῆ ψυχήν.

οα΄. Ὑπεραιώνια, καὶ πρὸ παντὸς αἰῶνος, καὶ ὑπὲρ νοῦν καὶ λόγον, τὰ ἀποκεί-

νή, ποὺ εἶναι κατάστασι [πνευματικὴ] πολύπονος, [ποὺ ἀποκτᾶται, δηλαδή, μὲ πολὺ κόπο].

65. Σημεῖο ὑπομονῆς, [ἔνδειξι ὅτι ὑπάρχει ὑπομονή, εἶναι], ἡ ἀγάπη γιὰ τοὺς κόπους. Στοὺς ὁποίους ἔχοντας θάρρος ὁ νοῦς, ἐλπίζει, νὰ ἐπιτύχῃ αὐτὰ ποὺ ἔχουν ὑποσχεθῆ [ἀπὸ τὸν Θεὸ] καὶ νὰ ἀποφύγῃ αὐτά, τὰ ὁποῖα ἔχει ἀπειληθῆ, [ὅτι θὰ λάβῃ ὡς τιμωρίες].

66. Ἡ προσδοκία τῶν μελλοντικῶν ἀγαθῶν, ἑνώνει τὸν νοῦ μὲ ἐκεῖνα, ποὺ προσδοκῶνται. Ἐὰν δὲ χρονίζῃ, [ἐὰν παραμένῃ πολὺ χρόνο] σ᾽ αὐτά, λησμονεῖ τὰ παρόντα.

67. Ἀπορρίπτει τὰ παρόντα, αὐτός, ποὺ γεύθηκε τὰ ἐλπιζόμενα [μέλλοντα ἀγαθά], διότι ὅλο του τὸν πόθο τὸν ἄδειασε σ᾽ αὐτά.

68. Ὁ Θεὸς εἶναι Αὐτὸς ποὺ ὑποσχέθηκε τὰ μέλλοντα ἀγαθά, στὸν ὁποῖο, ἐπειδὴ πιστεύει ὁ ἐγκρατής, ποθεῖ τὰ μέλλοντα σὰν παρόντα.

69. Σημεῖο τῆς παραμονῆς τοῦ νοὸς στὰ ἐλπιζόμενα ἀγαθὰ [εἶναι] τὸ νὰ λησμονῇ ἐντελῶς τὰ παρόντα καὶ νὰ διευρύνεται ὁ ἴδιος στὴν γνῶσι τῶν μελλόντων.

70. Καλὴ [εἶναι] ἡ ἀπάθεια, τὴν ὁποία διδάσκει ὁ Θεὸς τῆς ἀληθείας, πληροφορώντας [μ᾽ αὐτὴν] ἀπ᾽ ἐδῶ τὴν θεοφιλῆ ψυχὴ [γιὰ τὴν σωτηρία της].

71. Ὑπεραιώνια καὶ πρὶν ἀπὸ κάθε αἰῶνα καὶ πάνω ἀπὸ [κάθε] νοῦ καὶ λόγο [εἶναι] τὰ ἀγαθά, τὰ ὁποῖα

μενα ἀγαθὰ τοῖς κληρονόμοις τῆς ἐπαγγελίας.

οβ΄. Ῥυθμίσωμεν ἑαυτοὺς τοῖς κανόσι τοῖς εὐσεβείας, ἵνα μή, εἰς πάθη παρατραπέντες, ἐκπέσωμεν τῆς ἐλπίδος.

ογ΄. Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ εἷς τῆς Τριάδος, οὗ καὶ κληρονόμος μέλλεις ἔσεσθαι.

οδ΄. Ὁ τὴν γνῶσιν τῶν ὄντων παρὰ Θεοῦ διδαχθείς, οὐ δυσπιστεῖ τῇ Γραφῇ περὶ τῶν προειρημένων.

οε΄. Νοῦν, παθῶν γυμνωθέντα, εὑρίσκων τὸ Πνεῦμα τὸ Ἅγιον, μυσταγωγεῖ αὐτὸν ἀναλόγως περὶ πάντων τῶν ἐλπιζομένων.

ος΄. Τῇ ἀναλογίᾳ τῆς τοῦ νοῦ καθάρσεως, καὶ τὴν τῶν θείων λόγων γνῶσιν ἡ ψυχὴ χορηγεῖται.

οζ΄. Ὁ τὸ σῶμα κανονίσας, καὶ ἐν τῇ γνώσει διατρίβων, ἀπ᾽ αὐτῆς τῆς γνώσεως ἐπιπλεῖον καθαίρεται.

οη΄. Νοῦς ἀρχόμενος τὰ θεῖα φιλοσοφεῖν, ἀπὸ πίστεως ἄρχεται, καὶ διὰ τῶν ἐν μέσῳ διάγων, εἰς πίστιν πάλιν καταλήγει τὴν ἀνωτάτην.

οθ΄. Θεωρεῖται τῇ μὲν ἀρχῇ τῆς φιλοσοφίας, φόβος ἑπό-

ἀναμένουν τοὺς κληρονόμους τῆς ὑποσχέσεως [τοῦ Θεοῦ].

72. Ἂς ρυθμίσωμε τοὺς ἑαυτούς μας μὲ τοὺς κανόνες τῆς εὐσεβείας, ὥστε νὰ μὴν ἐκπέσωμε ἀπὸ τὴν ἐλπίδα [τῆς σωτηρίας μας] μὲ τὸ νὰ παρεκκλίνωμε σὲ πάθη.

73. Ὁ Ἰησοῦς εἶναι ὁ Χριστός, ὁ ἕνας τῆς [Ἁγίας] Τριάδος, τοῦ Ὁποίου πρόκειται νὰ γίνῃς καὶ κληρονόμος.

74. Αὐτός, ποὺ διδάχθηκε ἀπὸ τὸν Θεό, τὴν γνῶσι τῶν ὄντων, δὲν δυσπιστεῖ στὴν [Ἁγία] Γραφὴ γιὰ αὐτά, ποὺ ἔχουν προηγουμένως λεχθῆ.

75. Ὅταν εὕρῃ τὸ Πνεῦμα τὸ Ἅγιο νοῦ, ὁ ὁποῖος ἀπαλλάχθηκε ἀπὸ τὰ πάθη, [τότε] ἀναλόγως μυσταγωγεῖ αὐτόν, σχετικὰ μὲ ὅλα ὅσα προσδοκῶνται.

76. Ὡς πρὸς τὴν ἀναλογία τῆς καθαρότητος τοῦ νοός, παρέχει ἡ ψυχὴ καὶ τὴν γνῶσι τῶν θείων λόγων.

77. Ἐκεῖνος, ὁ ὁποῖος κανόνισε [ρύθμισε μὲ κανόνα] τὸ σῶμα [του] καὶ διατρίβει στὴν [θεία] γνῶσι, ἀπ᾽ αὐτὴν τὴν [θεία] γνῶσι περισσότερο καθαίρεται.

78. Ὁ νοῦς, ὁ ὁποῖος ἀρχίζει νὰ φιλοσοφῇ κατὰ Θεόν, [δηλαδή, νὰ ζῇ ἐν Χριστῷ], ἀρχίζει ἀπὸ τὴν πίστι· καὶ διερχόμενος ἀπό τὰ ἐνδιάμεσα [πνευματικὰ θέματα], πάλι καταλήγει [τὴν ἐν Χριστῷ φιλοσοφία του] στὴν ἀνωτάτη πίστι.

79. Στὴν μὲν ἀρχὴ τῆς [κατὰ Θεὸν] φιλοσοφίας, [δηλαδή, τῆς ἐν Χριστῷ ζωῆς] παρουσιάζεται ὁ φόβος [τοῦ Θεοῦ], ὁ ὁποῖος [καὶ] συνοδεύει [τὴν ἐν Χρι-

μενος. Τῷ δὲ τέλει, ἀγάπη προηγουμένη.

π΄. Ἐκ πίστεως τῆς προσεχοῦς ὁ νοῦς ἀρχόμενος φιλοσοφίας, εἰς τὴν παντὸς ἐπέκεινα νοῦ καταλήγει θεολογίαν, ἣν ἄληστον πίστιν, καὶ πράγματος ἀφανοῦς θεωρίαν ὁρίζουσιν.

πα΄. Οἱ περὶ Θεοῦ λόγοι, οὐκ ἐκ τῶν κατ᾽ αὐτόν, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτὸν τοῖς ἁγίοις θεωροῦνται.

πβ΄. Νοοῦνται οἱ περὶ αὐτὸν δηλονότι τὸν Θεόν, πάντες λόγοι, οἱ μὲν κατὰ θέσιν, οἱ δὲ κατ᾽ ἀφαίρεσιν οἷον.

πγ΄. Ἡ οὐσία, ἡ θεότης, ἡ ἀγαθότης, καὶ ὅσα ἄλλα καταφατικῶς λέγεται καὶ κατὰ θέσιν. Τὸ δὲ ἄναρχον πάλιν, καὶ ἄπειρον, καὶ ἀόριστον, καὶ ὅσα ἀποφατικῶς, κατ᾽ ἀφαίρεσιν.

πδ΄. Μιᾶς οὐσίας οὔσης τῆς ὑπὲρ νοῦν, καὶ λόγον, καὶ κρυφίας θεότητος τῆς Ἁγίας Τριάδος, τὰ περὶ αὐτὴν θεωρούμενα, τὰ προειρημένα εἶναί φασι, καὶ τὰ ὅμοια.

πε΄. Ὥς περ δὲ μίαν θεότητα τῆς Ἁγίας Τριάδος λέγουσιν, οὕτω καὶ τρεῖς τὰς ὑποστάσεις τῆς μιᾶς θεότητος

στῷ ζωή]. Στὸ δὲ τέλος [της, παρουσιάζεται] ἡ ἀγάπη, ἡ ὁποία [καὶ] ὑπερέχει.

80. Ὁ νοῦς, ὁ ὁποῖος ἀρχίζει τὴν [κατὰ Θεὸν] φιλοσοφία, [δηλαδή, τὴν ἐν Χριστῷ ζωὴ] ἀπὸ τὴν ἀκριβῆ πίστι καταλήγει στὴν ἐπέκεινα ἀπὸ κάθε νοῦ θεολογία, τὴν ὁποία προσδιορίζουν, ὡς ἄπαυστη πίστι καὶ θεωρία [ὅρασι] κάθε ἀοράτου πράγματος.

81. Οἱ λόγοι περὶ Θεοῦ, δὲν θεωροῦνται ἀπὸ τοὺς Ἁγίους ἀπὸ τὰ κατ᾽ Αὐτόν, [δηλαδή, ἀπὸ τὴν οὐσία Του], ἀλλὰ ἀπὸ τὰ περὶ Αὐτόν, [δηλαδή, ἀπὸ τὶς ἐνέργειές Του].

82. Ὅλοι οἱ λόγοι, οἱ σχετικοὶ μ᾽ Αὐτόν, δηλαδὴ τὸν Θεό, νοοῦνται ἄλλοι μὲν κατὰ θέσιν, ἄλλοι δὲ κατὰ ἀφαίρεσιν, ὅπως γιὰ παράδειγμα [θὰ ἀναφέρω στὸν ἑπόμενο στίχο].

83. [Λοιπόν], ἡ οὐσία, ἡ θεότης, ἡ ἀγαθότης καὶ ὅσα ἄλλα [νοοῦνται] καταφατικά, λέγονται καὶ κατὰ θέσιν. Πάλι δὲ τὸ ἄναρχο καὶ τὸ ἄπειρο καὶ τὸ ἀπεριόριστο, καὶ ὅσα [ἄλλα νοοῦνται] ἀποφατικά, [λέγονται] κατ᾽ ἀφαίρεσιν.

84. Ἀφοῦ ἡ Ἁγία Τριάδα εἶναι μία οὐσία, πάνω ἀπὸ τὸν νοῦ καὶ τὴν λογικὴ καὶ [ἐπὶ πλέον] κρύφια Θεότητα, τὰ θεωρούμενα [ὁρώμενα] σχετικὰ μὲ Αὐτήν, λέγουν, ὅτι εἶναι ἐκεῖνα, ποὺ προείπαμε καὶ τὰ ὅμοια [μ᾽ αὐτά].

85. Ὅπως ἀκριβῶς λέγουν, ὅτι εἶναι μία ἡ Θεότης τῆς Ἁγίας Τριάδος, ἔτσι πιστεύουν, [ὅτι εἶναι] καὶ τρεῖς οἱ ὑποστάσεις τῆς μιᾶς Θεό-

δοξάζουσι.

πς΄. Νοοῦσι δὲ τὰ κατ᾽ ἀφαίρεσιν καὶ θέσιν προειρημένα, κοινὰ ἐπὶ τῆς Ἁγίας καὶ Ὁμοουσίου Τριάδος, χωρὶς τῶν ἰδιωμάτων, ἐπειδὴ καὶ αὐτῶν τὰ πλεῖστα μὲν κατὰ θέσιν, τινὰ δὲ κατ᾽ ἀφαίρεσιν λέγουσι.

πζ΄. Λέγουσι δὲ πάλιν τὰ ἰδιώματα τῶν θείων ὑποστάσεων ταῦτα, τὴν πατρότητα, τὴν υἱότητα, τὴν ἐκπόρευσιν, καὶ ὅσα ἄλλα ἰδικῶς λέγεται.

πη΄. Ὑπόστασιν δὲ ὁρίζουσιν, οὐσίαν μετὰ ἰδιωμάτων. Διὸ ἑκάστη ὑπόστασις, ἔχει καὶ τὸ κοινὸν τῆς οὐσίας, καὶ τὸ ἴδιον τῆς ὑποστάσεως.

πθ΄. Τὰ δὲ κοινῶς πάλιν ἐπὶ τῆς Ἁγίας Τριάδος κατ᾽ ἀφαίρεσιν λεχθέντα, κυριώτερα κρίνουσιν. Οὐχ οὕτω μέντοι καὶ ἐπὶ τῶν ἰδιωμάτων. Ἐπειδὴ καὶ αὐτῶν τὰ μὲν κατὰ θέσιν, τὰ δὲ κατὰ ἀφαίρεσιν, ὡς προείρηται, λέγουσιν, ὡς τὸ γεννητὸν καὶ τὸ ἀγέννητον, καὶ τὰ ὅμοια. Ἡ γὰρ ἀγεννησία, τῆς μὲν γεννήσεως κατὰ μόνην διαφέρει τὴν σημασίαν. Ἡ μὲν γάρ, τὸ μὴ γεννᾶσθαι[α΄] *τὸν Πα-*

τητος.

86. Νοοῦν δέ, τὰ κατ᾽ ἀφαίρεσιν καὶ [τὰ κατὰ] θέσιν [σχετικὰ μὲ τὸν Θεό], ὅπως ἐλέχθησαν προηγουμένως, [ὅτι εἶναι] κοινὰ ἐπὶ [τῶν προσώπων] τῆς Ἁγίας καὶ Ὁμοουσίου Τριάδος, ξεχωριστὰ ἀπὸ τὰ ἰδιώματα [Αὐτῶν, τῶν προσώπων], ἀφοῦ καὶ ἀπ᾽ αὐτὰ [τὰ ἰδιώματα] τὰ περισσότερα μέν, τὰ λέγουν, [ὅτι εἶναι] κατὰ θέσιν, μερικὰ δὲ κατ᾽ ἀφαίρεσιν.

87. Λέγουν δὲ πάλι [οἱ Ἅγιοι, ὅτι εἶναι] αὐτά, τὰ ἰδιώματα τῶν θείων Ὑποστάσεων: ἡ πατρότης, ἡ υἱότης, ἡ ἐκπόρευσι καὶ ὅσα ἄλλα χαρακτηρίζονται, ὡς ξεχωριστά.

88. Τὴν δὲ ὑπόστασι τὴν ὁρίζουν, ὡς οὐσία μὲ ἰδιώματα [ἰδιαίτερα γνωρίσματα]. Γι᾽ αὐτὸ κάθε μία Ὑπόστασι ἔχει τὸ κοινὸ τῆς [θείας] Οὐσίας καὶ τὸ ξεχωριστὸ τῆς Ὑποστάσεως.

89. Ἐκεῖνα δέ, τὰ ὁποῖα πάλι, ἔχουν χαρακτηρισθῆ ὡς κοινὰ ἐπὶ τῆς Ἁγίας Τριάδος, κατ᾽ ἀφαίρεσιν, τὰ κρίνουν ὡς κυριώτερα. [Δὲν συμβαίνει], ὅμως, ἔτσι καὶ σχετικὰ μὲ τὰ ἰδιώματα [τῶν Ὑποστάσεων]. Ἐπειδὴ καὶ ἀπ᾽ αὐτὰ ἄλλα μὲν τὰ λέγουν κατὰ θέσιν, ὅπως ἔχει προαναφερθῆ, ἄλλα δὲ κατὰ ἀφαίρεσιν· ὅπως [εἶναι] τὸ γεννητὸν καὶ τὸ ἀγέννητον καὶ τὰ ὅμοια. Διότι ἡ ἀγεννησία διαφέρει, βέβαια, ἀπὸ τὴν γέννησι μόνον κατὰ τὴν σημασία. Διότι ἡ μὲν [ἀγεννησία] σημαίνει, τὸ ὅτι ὁ Πατέρας δὲν ἔχει γεν-

τέρα, ἡ δέ, τὸ γεγεννῆσθαι τὸν Υἱὸν σημαίνει.

ϟ'. Ῥήμασι δ' αὖ καὶ ὀνόμασι κέχρηνται πρὸς τὴν τῶν περὶ τὴν οὐσίαν, ὡς εἴρηται, τῆς Ἁγίας Τριάδος, θεωρουμένων λόγων σαφήνειαν· ἄγνωστοι γὰρ οὗτοι καὶ ἄρρητοι νῷ καὶ λόγῳ παντί, καὶ μόνῃ τῇ Ἁγίᾳ Τριάδι εἰσὶ γινωσκόμενοι.

ϟα'. Ὥς περ δὲ τρισυπόστατον τὴν μίαν οὐσίαν τῆς θεότητος λέγουσιν, οὕτω καὶ ὁμοούσιον τὴν Ἁγίαν Τριάδα ὁμολογοῦσιν.

ϟβ'. Θεωρεῖται δὲ αὐτὸς πάλιν ὁ Πατήρ, καὶ ἄναρχος, καὶ ἀρχή. Καὶ ἄναρχος μέν, ὡς ἀγέννητος. Ἀρχὴ δέ, ὡς γεννήτωρ, καὶ προβολεὺς τῶν ἐξ αὐτοῦ κατ' οὐσίαν, καὶ ἐξ ἀϊδίου ὑπαρχόντων ἐν αὐτῷ, Υἱοῦ τε λέγω, καὶ Πνεύματος Ἁγίου.

ϟγ'. Ἡ μονὰς μέχρι Τριάδος παρ' αὐτοῖς κινουμένη, μένει μονάς. Καὶ ἡ Τριὰς μέχρι μονάδος πάλιν συναγομένη, μένει τριάς· ὃ καὶ παράδοξον.

ϟδ'. Νοοῦσι δὲ πάλιν τὸν Υἱόν, καὶ τὸ Πνεῦμα, καὶ ἄναρχα μέν, ἀΐδια δέ. Οὐκ [delendum]

νηθῆ, ἡ δὲ [γέννησι σημαίνει] τὸ ὅτι ὁ Υἱὸς ἔχει γεννηθῆ.

90. Ἔχουν δέ, λοιπόν, χρησιμοποιηθῆ - καθὼς ἔχει λεχθῆ - λόγοι καὶ ὀνόματα, ὅσον ἀφορᾶ τὴν σαφήνεια τῶν θεωρουμένων λόγων σχετικὰ μὲ τὴν Οὐσία τῆς Ἁγίας Τριάδος· βέβαια αὐτοὶ [οἱ λόγοι], εἶναι ἄγνωστοι καὶ ἀνέκφραστοι γιὰ κάθε νοῦ καὶ λογικὴ καὶ γνωριζόμενοι μόνον ἀπὸ τὴν Ἁγία Τριάδα.

91. Ὅπως δὲ ἀκριβῶς λέγουν τρισυπόστατο τὴν μία οὐσία τῆς Θεότητος, ἔτσι ὁμολογοῦν καὶ τὴν Ἁγία Τριάδα ὁμοούσιο.

92. Ὁ Πατὴρ δέ, πάλι, ὁ ἴδιος θεωρεῖται καὶ ἄναρχος καὶ ἀρχή. Καὶ ἀφ' ἑνὸς Ἄναρχος, ὡς ἀγέννητος· ἀφ' ἑτέρου Ἀρχὴ ὡς γεννήτωρ καὶ προβολεύς, αὐτῶν [οἱ ὁποῖοι προῆλθαν] ἀπ' Αὐτόν, κατὰ τὴν Οὐσία καὶ οἱ ὁποῖοι ὑπάρχουν προαιωνίως ἐν Αὐτῷ. Ἐννοῶ, [βέβαια], τὸν Υἱὸ καὶ μαζὶ τὸ Ἅγιο Πνεῦμα.

93. Ἡ Μονάς, ἡ ὁποία μεταξύ τους [στὴν σχέσι τῶν τριῶν Προσώπων][4] κινεῖται μέχρι Τριάδος, παραμένει Μονάς. Καὶ ἡ Τριάς, ποὺ συνάγεται πάλι μέχρι Μονάδος, παραμένει Τριάς. Τὸ ὁποῖο [εἶναι] βέβαια παράδοξο.

94. Νοοῦν δέ, πάλι, [οἱ Ἅγιοι], τὸν Υἱὸ καὶ τὸ Πνεῦμα, ἀφ' ἑνὸς μὲν ἄναρχα, καὶ ἀφ' ἑτέρου ἀΐδια [ἄκτι-

ἄναρχα μέν, ὡς πρὸς ἀρχήν, καὶ πηγὴν ἀναφερόμενα τὸν Πατέρα. Αΐδια δέ, ὡς ἐξ ἀϊδίου, τοῦ μὲν γεννητῶς, τοῦ δὲ ἐκπορευτῶς, Πατρὶ συνυπάρχοντος.

ϟε΄. Ἀδιαίρετον δὲ τὴν μίαν θεότητα τῆς Τριάδος φυλάττουσι, καὶ ἀσυγχύτους τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς θεότητος διατηροῦσιν.

ϟς΄. Ἰδιότητας δέ, τοῦ μὲν Πατρός, ἄναρχον, καὶ ἀγέννητον λέγουσι. Τοῦ δὲ Υἱοῦ, τὸ ἐν ἀρχῇ[13], καὶ τὸ γεννητόν. Τοῦ δὲ Ἁγίου Πνεύματος, τὸ μετὰ τῆς ἀρχῆς, καὶ τὸ ἐκπορευτόν. Ἀρχὴν δὲ τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύματος, οὐ χρονικὴν λέγουσι. Πῶς γάρ; ἀλλὰ τὴν αἰτίαν δηλοῦσιν, ἐξ ἧς ὡς ἐξ ἡλίου τὸ φῶς, οὕτως ἐξ ἀϊδίου τὴν ὕπαρξιν ἔχουσιν· ἐξ αὐτῆς γὰρ κατ᾽ οὐσίαν, εἰ καὶ μὴ μετ᾽ αὐτήν.

ϟζ΄. Ἡ ἰδιότης πάλιν τῶν ὑποστάσεων, ἀκίνητος, καὶ ἀμετάπτωτος παρ᾽ αὐτοῖς φυλάττεται. Καὶ ἡ κοινότης δὲ τῆς οὐσίας ἤγουν θεότητος, ἀδιαίρετος.

ϟη΄. Μονάδα ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι ὁμολο-

στα]. Ἄναρχα μέν, διότι ἀναφέρονται πρὸς τὸν Πατέρα, ὡς ἀρχὴ καὶ πηγή. Ἀΐδια δὲ [ἄκτιστα] ἐπειδή, καθὼς συνυπάρχουν μὲ τὸν Πατέρα, [ὑφίστανται] ἀπὸ τὸν Ἀΐδιο[5] [τὸν Ἄκτιστο], ὁ μὲν [Υἱὸς] γεννητῶς [διὰ γεννήσεως], τὸ δὲ [Ἅγιο Πνεῦμα] ἐκπορευτῶς [διὰ ἐκπορεύσεως].

95. Φυλάσσουν ἀδιαίρετη τὴν μία Θεότητα τῆς Τριάδος καὶ διατηροῦν ἀσύγχυτες τὶς τρεῖς Ὑποστάσεις τῆς μιᾶς Θεότητος.

96. Ὡς ἰδιότητες δὲ τοῦ μὲν Πατρός, λέγουν [οἱ Ἅγιοι], τὸ ἄναρχο καὶ τὸ ἀγέννητο. Τοῦ δὲ Υἱοῦ, τὸ ἐν ἀρχῇ[6] καὶ τὸ γεννητόν. Τοῦ δὲ Ἁγίου Πνεύματος, τὸ μετὰ τῆς ἀρχῆς[7] καὶ τὸ ἐκπορευτόν. Δὲν λέγουν, βέβαια, ἀρχὴ τοῦ Υἱοῦ καὶ τοῦ [Ἁγίου] Πνεύματος χρονική. Διότι πῶς [θὰ ἦταν δυνατὸν νὰ ποῦν κάτι τέτοιο]; Ἀλλὰ δηλώνουν τὴν Αἰτία, ἀπὸ τὴν ὁποία, ὅπως τὸ φῶς ἀπὸ τὸν ἥλιο, ἔτσι ἔχουν ἐξ ἀϊδίου [ἐκ τοῦ ἀκτίστου] τὴν ὕπαρξι. Διότι ἀπ᾽ Αὐτὴν [προέρχονται] κατὰ τὴν Οὐσία, ἂν καὶ δὲν [εἶναι] μετὰ ἀπ᾽ αὐτήν.

97. Ἡ ἰδιότητα, πάλι, τῶν Ὑποστάσεων, φυλάσσεται μεταξύ τους [στὴν σχέσι τῶν τριῶν Προσώπων] ἀκίνητος καὶ ἀμετάπτωτος. Καὶ ἡ κοινότης [τὸ κοινὸν] δὲ τῆς οὐσίας, δηλαδὴ τῆς Θεότητος, [μένει] ἀδιαίρετος.

98. [Οἱ Ἅγιοι] ὁμολογοῦν Μονάδα ἐν Τριάδι, καὶ Τριάδα ἐν Μονάδι, ἡ

γοῦσι· διαιρουμένην ἀδιαιρέτως, καὶ συναπτομένην διῃρημένως.

ϟθ'. Ἀρχὴν δὲ μίαν τῶν ὅλων, τὸν Πατέρα οἴδασι· τοῦ μὲν Υἱοῦ, καὶ τοῦ Πνεύματος· ὡς γεννήτορα, καὶ ὡς πηγὴν ἀΐδιον, καὶ συναΐδιον, καὶ συνάπειρον, καὶ ἀόριστον, καὶ ὁμοούσιον, καὶ ἀχώριστον. Τῶν δὲ κτισμάτων, ὡς δημιουργόν, καὶ προνοητήν, καὶ κριτήν· δι᾽ Υἱοῦ δηλονότι ἐν Ἁγίῳ Πνεύματι. Ἐξ αὐτοῦ γάρ, φησί, καὶ δι᾽ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν[14].

ρ'. Συναΐδια πάλιν λέγουσι τῷ Πατρὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· οὐ συνάναρχα δέ. Καὶ συναΐδια μέν, ὡς ἐξ ἀπείρου τῷ Πατρὶ συνυπάρχοντα, οὐ συνάναρχα δέ, ὡς οὐκ ἀναίτια· ἐξ αὐτοῦ γάρ, εἰ καὶ μὴ μετ᾽ αὐτόν, ὡς ἐξ ἡλίου τὸ φῶς, καθὼς προείρηται. Λέγουσι δὲ πάλιν καὶ ἄναρχα, ὅταν τὴν ἀπὸ χρόνου λαμβάνῃ ἀρχήν, ἵνα μὴ ὑπὸ χρόνον νοηθῇ, τὰ ἐξ ὧν ὁ χρόνος. Οὐκ ἄναρχα οὖν τῷ αἰτίῳ, τῷ δὲ χρόνῳ ἄναρχα· ὡς πρὸ παντὸς καὶ χρόνου, καὶ αἰῶνος· καὶ

ὁποία διαιρεῖται ἀδιαίρετα καὶ συνάπτεται διῃρημένα[8].

99. Ἀναγνωρίζουν δὲ τὸν Πατέρα, ὡς μίαν Ἀρχὴ τῶν ὅλων· τοῦ μὲν Υἱοῦ και τοῦ [Ἁγίου] Πνεύματος, [τὸν ἀναγνωρίζουν], ὡς γεννήτορα καὶ ὡς πηγὴ ἀΐδιο καὶ συναΐδιο καὶ συνάπειρο καὶ ἀόριστο καὶ ὁμοούσιο καὶ ἀχώριστο. Τῶν δὲ δημιουργημάτων [τὸν ἀναγνωρίζουν], ὡς δημιουργὸ καὶ Προνοητὴ καὶ Κριτή· βεβαίως διὰ τοῦ Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι [μὲ τὴν συνεργία τοῦ Ἁγίου Πνεύματος]. Διότι, λέγει [ἡ Ἁγία Γραφή], ὅλα ἀπ᾽ Αὐτὸν [προέρχονται] καὶ δι᾽ Αὐτοῦ, καὶ σ᾽ Αὐτὸν [πρὸς Αὐτὸν καταλήγουν ἢ Αὐτὸν ἔχουν ὡς σκοπό τους]. Σ᾽ Αὐτὸν [ἀνήκει] ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

100. Λέγουν, πάλι, [ὅτι εἶναι] συναΐδια μὲ τὸν Πατέρα, ὁ Υἱὸς καὶ τὸ Ἅγιο Πνεῦμα, ὄχι ὅμως συνάναρχα. Καὶ συναΐδια μὲν ἐπειδὴ συνυπάρχουν μὲ τὸν Πατέρα ἐξ ἀπείρου [στὴν βάσι τῆς θείας ἀπειρότητος] ὄχι ὅμως συνάναρχα, ἀφοῦ δὲν [εἶναι] ἀναίτια· διότι [προέρχονται] ἀπ᾽ Αὐτόν, ἂν καὶ δὲν [εἶναι] μετὰ ἀπ᾽ Αὐτόν, ὅπως τὸ φῶς ἀπὸ τὸν Ἥλιο, καθὼς ἔχει προαναφερθῆ. Λέγουν δὲ πάλι, [ὅτι εἶναι] καὶ ἄναρχα, ὅταν λαμβάνουν ἀρχὴ ἀπὸ τὸν χρόνο, [δηλαδή, ὅταν ἐννοῆται ἡ ἀρχή τους στὸν χρόνο], γιὰ νὰ μὴν νοηθοῦν ὑπὸ τὸν χρόνο [ὑποκείμενα, δηλαδή, στὸν χρόνο], ἐκεῖνα, ἀπὸ τὰ ὁποῖα [προέρχεται] ὁ χρόνος. Δὲν [εἶναι], λοιπόν, ἄναρχα ὡς πρὸς τὸ Αἴτιον, [εἶναι] ὅμως ἄναρχα ὡς πρὸς τὸν χρόνο. Διότι [ὑπάρχουν] πρὶν ἀπὸ κάθε χρόνο καὶ αἰῶνα, καὶ

ὑπὲρ αἰῶνα, καὶ χρόνον, δι᾿ ὧν ἅπας καὶ αἰών, καὶ χρόνος· καὶ τὰ ἐν αἰῶνι, καὶ τὰ ἐν χρόνῳ, καὶ ὡς τῷ Πατρί, ὡς προείρηται, συναΐδια. Μεθ᾿ ὧν αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

πάνω ἀπὸ [κάθε] αἰῶνα καὶ χρόνο, διὰ τῶν ὁποίων [προῆλθε] ὅλος ὁ αἰώνας [ὅλοι οἱ αἰῶνες] καὶ [ὅλος] ὁ χρόνος· καὶ [ὅλα ὅσα εὑρίσκονται] μέσα στὸν αἰῶνα καὶ στὸν χρόνο καὶ ἐπειδή, καθὼς ἀναφέρθηκε προηγουμένως, [εἶναι] συναΐδια μὲ τὸν Πατέρα. Σ᾿ αὐτόν, μαζὶ μ᾿ αὐτὰ [ἀνήκει] ἡ δόξα καὶ τὸ κράτος στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α´ ***Ἐν ἄλλοις γεγεννῆσθαι.***

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Ῥωμ. 8, 13.
[2] Κολασσ. 3, 5.
[3] Πρβλ. Α´ Κορ. 9, 27.
[4] Σοφ. Σειρ. 15, 15, Σοφ. Σειρ. 37, 12.
[5] Γένεσ. 3, 19.
[6] Γένεσ. 3, 22.
[7] Γένεσ. 3, 1-5.
[8] Ἰούδ. 12.
[9] Γαλ. 2, 18.
[10] Γένεσ. 3.
[11] Ῥωμ. 5, 19.
[12] Γένεσ. 2, 9.
[13] Ἰω. 1, 2.
[14] Ῥωμ. 11, 36.

ΣΧΟΛΙΑ

[1] Ὁ νοῦς τοῦ ἀνθρώπου ἔχει ὡς κτιστὸ καὶ ὀντολογικὸ γνώρισμά του τὸ «κατ᾽ εἰκόνα», ἐνῶ ἔλαβε χαρισματικῶς, εὐθὺς ἐξαρχῆς, μὲ τὴ δημιουργία καὶ τὸ «καθ᾽ ὁμοίωσιν» Θεοῦ, τὸ ὁποῖο ἔχει ἄκτιστο χαρακτῆρα καὶ ὀφείλεται στὴν χαρισματικὴ παρουσία τῆς ἀκτίστου καὶ θεοποιοῦ ἐνεργείας τοῦ Ἁγίου Πνεύματος σ᾽ αὐτόν. Μὲ τὴν προγονικὴ πτῶσι, ὁ ἄνθρωπος ἔχασε τὸ «καθ᾽ ὁμοίωσιν» Θεοῦ, διατήρησε ὅμως ἀμαυρωμένο τὸ «κατ᾽ εἰκόνα» Θεοῦ, ὡς ἀναφαίρετο ἀνθρωπολογικὸ γνώρισμά του. Στὸ πλαίσιο τῆς Ἐκκλησίας, ὁ ἄνθρωπος, μὲ τὸ μυστήριο τοῦ Βαπτίσματος, ἀνακαινίζεται καὶ λαμπικάρεται, ὡς πρὸς τὸ «κατ᾽ εἰκόνα», ἐνῶ μὲ τὸ μυστήριο τοῦ Ἁγίου Χρίσματος ἐπαναπροσλαμβάνει τὸ «καθ᾽ ὁμοίωσιν», ἀφοῦ κατ᾽ αὐτὸ τὸ μυστήριο ζεῖ χαρισματικῶς τὴν προσωπική του Πεντηκοστή. Ἔτσι μόνο μπορεῖ ὁ ἄνθρωπος, ὡς πιστός, νὰ πραγματοποιῇ τὸν σκοπὸ τῆς ὑπάρξεώς του, ποὺ εἶναι ἡ χαρισματικὴ θέωσί του. Ὁ νοῦς, ὡς «πρωτοπαθής», εἶναι ἐκεῖνος ποὺ ἔχει ὅλα τὰ ὀντολογικὰ γνωρίσματα γιὰ τὴν ἐπίτευξι τοῦ σκοποῦ τοῦ Θεοῦ γιὰ τὸν ἄνθρωπο. Ἐμπλουτισμένος ὁ νοῦς τοῦ ἀνθρώπου μὲ τὴν θεοποιὸ Χάρι του Τριαδικοῦ Θεοῦ, ἀναπτύσσει πλέον τὸ κτιστὸ «κατ᾽ εἰκόνα» στὴν χαρισματικὴ προοπτικὴ τοῦ «καθ᾽ ὁμοίωσιν», ὡς ὀντολογικὸ - χαρισματικὸ γνώρισμά του. Πρακτικῶς, αὐτὸ σημαίνει, ὅτι ὁ νοῦς ζεῖ καὶ λειτουργεῖ ἐν Χριστῷ, κατὰ τὸ πρότυπο τοῦ «κατ᾽ εἰκόνα», ποὺ εἶναι ὁ ἐνανθρωπήσας Θεὸς Λόγος. Ἔτσι, ζεῖ γιὰ τὸν Θεὸ καὶ σκέπτεται σχετικὰ μ᾽ Αὐτόν, κινούμενος χαρισματικῶς στὴν νέα ἐν Χριστῷ ὀντολογία του.

[2] Τὰ «κρίματα» τοῦ Θεοῦ εἶναι οἱ θεοπρεπεῖς κρίσεις καὶ ἀποφάσεις Του, οἱ ὁποῖες ἐμφανίζονται καὶ ὡς θελήματα τοῦ Θεοῦ γιὰ τὸν ἄνθρωπο, ἀλλὰ καὶ γιὰ ὅλη τὴν κτίσι. Καί, ἐπειδὴ μόνον ὁ Θεὸς ἔχει ὅλα τὰ δεδομένα γιὰ πρόσωπα καὶ πράγματα, γι᾽ αὐτὸ καὶ μόνον οἱ κρίσεις – ἀποφάσεις τοῦ Θεοῦ εἶναι ἀπολύτως δίκαιες καὶ ὀρθές. Ἡ δικαιοσύνη ὅμως τοῦ Θεοῦ, ὡς ἄκτιστη ἐνέργειά Του, δὲν ἐξαντλεῖται στὰ ὅρια τῆς ἀνθρωπίνης κατανοήσεώς της, εἶναι ἀναμιγμένη μὲ τὴν ἄκτιστη ἀγάπη Του, γι᾽ αὐτὸ καὶ ἐμφανίζει ἐκπλήξεις στὸν ἀνθρώπινο νοῦ, ποὺ ἀποτυπώνονται λεκτικὰ στὴν διατύπωσι: «φοβερὰ τὰ κρίματα τοῦ Θεοῦ»!

[3] Ἐδῶ γίνεται λόγος γιὰ τὴν ἐσχατολογικὴ ἀνάστασι ὅλων ἀνεξαιρέτως τῶν νεκρῶν. Κατὰ τὴν ἀνάστασι αὐτή, ποὺ σχετίζεται μὲ τὴν ἔνδο-

ξη Δευτέρα Παρουσία τοῦ Κυρίου μας καὶ τὴν μέλλουσα Κρίσι, οἱ ἀσεβεῖς καὶ ἀμετανόητοι, κατὰ τὴν παροῦσα ζωή, θὰ βρεθοῦν, μὲ τὰ ἀναστημένα σώματά τους, πνευματικῶς νεκροὶ καὶ ἀμέτοχοι τῆς μέλλουσας αἰωνίου καὶ ἀϊδίου ζωῆς τοῦ Τριαδικοῦ Θεοῦ. Ὅπως, δηλαδή, στὴν ἐπίγεια ζωή τους ἦταν νεκροί, ὡς πρὸς τὴν ὄντως ζωή, ἔτσι καὶ μετὰ τὸν βιολογικὸ θάνατό τους θὰ μεταβοῦν ἀπὸ τὸν πρόσκαιρο στὸν μόνιμο, αἰώνιο καὶ ἀδιάδοχο θάνατο.


[4] Πρόκειται γιὰ τὴν ἀΐδια ἐνδοτριαδικὴ κίνησι τῶν Τριῶν θείων Προσώπων, καὶ εἰδικώτερα γιὰ τὴν ἀΐδια γέννησι τοῦ Υἱοῦ καὶ τὴν ἀΐδια ἐκπόρευσι τοῦ Ἁγίου Πνεύματος ἀπὸ τὸν Θεὸ Πατέρα. Ἐδῶ εἶναι προφανές, ὅτι ὁ Ἅγιος Θαλάσσιος παρουσιάζει τὸ σχετικὸ χωρίο τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου, τὸ ὁποῖο ἔχει ὡς ἑξῆς: «*Διὰ τοῦτο Μονὰς ἀπ᾽ ἀρχῆς εἰς δυάδα κινηθεῖσα, μέχρι Τριάδος ἔστη. Καὶ τοῦτό ἐστιν ἡμῖν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα· ὁ μὲν γὰρ γεννήτωρ καὶ προβολεύς, λέγω δὲ ἀπαθῶς καὶ ἀχρόνως καὶ ἀσωμάτως· τῶν δέ, τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα*». (ΑΓΙΟΣ ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ, «Λόγος ΚΘ΄, Θεολογικὸς Γ΄», *PG* 36, 76A-C).

[5] Ἡ ἔννοια τοῦ ἀϊδίου διευκρινίστηκε στὸν προηγούμενο Τόμο. Βλ. ΑΓΙΟΣ ΜΑΞΙΜΟΣ Ο ΟΜΟΛΟΓΗΤΗΣ, «Ἑκατοντὰς πρώτη τῶν περὶ ἀγάπης κεφαλαίων», *Φιλοκαλία τῶν Ἱερῶν Νηπτικῶν*, Ἱ. Μονὴ Μπούρα 2012, τομ. Γ΄, σ. 50, σχόλ. 4.

[6] Πρόκειται γιὰ τὴν ἀϊδιότητα τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ.

[7] Ἡ ἐκπόρευσι τοῦ Ἁγίου Πνεύματος δὲν ἀκολουθεῖ τὴν γέννησι τοῦ Υἱοῦ, ἀλλά, ὡς ἀΐδια, εἶναι ἅμα, ἀπὸ τὴν ἴδια ἀΐδια αἰτία τοῦ Θεοῦ Πατέρα.

[8] Ἐδῶ πρόκειται γιὰ τὸ ἀκατάληπτο ἀπὸ τὸν ἀνθρώπινο νοῦ μυστήριο τῆς μιᾶς Τριαδικῆς Θεότητος. Ὁ Τριαδικὸς Θεὸς ὑπάρχει ὡς ἡ ἀπόλυτη Μονάδα τῆς Θεότητας, ἡ ὁποία ὅμως παραδόξως ὑφίσταται ἐν Τριάδι στὰ σαφῶς διακριτὰ καὶ ἀσυγχύτως ὑπάρχοντα θεῖα Πρόσωπα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.



ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ Ο ΔΑΜΑΣΚΗΝΟΣ

οὗ ἡ μνήμη ἐν μηνὶ Δεκεμβρίῳ δ'

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ


ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἰωάννης ὁ Δαμασκηνός, ὁ διὰ τὴν χρυσαυγίζουσαν αὐτοῦ τῆς διδασκαλίας χάριν, ἐπικληθεὶς χρυσοῤῥόας, ἦν ἐπὶ Λέοντος τοῦ Ἰσαύρου κατὰ τὸ ἑπτακοσιοστὸν τριακοστὸν ἔτος. Μοῦσα δὲ ἱερὰ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας χρηματίσας, πάμπολα συγγράμματα αὐτῇ καταλέλοιπε, ἡδονῆς ἀφάτου, καὶ πνευματικῆς χάριτος ἀποστάζοντα. Οἷς, καὶ τὸν παρόντα λόγον ὑπάρχοντα ἐναρίθμιον, ἐνταῦθα τεθείκαμεν, ὡς πάμπολυ συντελοῦντα εἰς τὴν προκειμένην τῆς βίβλου ὑπόθεσιν, καὶ τοῖς εἰδέναι ποθοῦσι τὴν τοὺς πολλοὺς λανθάνουσαν γνῶσιν τῶν ἀρετῶν καὶ κακιῶν χρειωδέστατον. Τίνες τε γάρ, καὶ ὅσαι, καὶ εἰς ὅσας διαιροῦνται κατ᾽ εἶδος, καὶ γένος σαφῶς ἐκδιδάσκει, καὶ ὅπως ἂν ἔχοι τις ἐκείνων μὲν ἐν κτή-

Ὁ Πατὴρ ἡμῶν, μεταξὺ τῶν Ἁγίων, Ἰωάννης ὁ Δαμασκηνός, ὁ ὁποῖος ὀνομάσθηκε χρυσορρόας, [αὐτός, ποὺ ἀναβλύζει χρυσό], ἕνεκα τῆς λαμπρῆς, σὰν τὸ χρυσάφι, Χάριτος τῆς διδασκαλίας του, ἔζησε ἐπὶ Λέοντος τοῦ Ἰσαύρου κατὰ τὸ ἔτος 730. Καθὼς χρημάτισε ἱερὰ μοῦσα, [ὑμνογραφικὴ ἰδιοφυΐα], τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, ἔχει ἀφήσει [ἱερὰ παρακαταθήκη] σ᾽ Αὐτὴν πάμπολα συγγράμματα, τὰ ὁποῖα ἀποστάζουν ἄφατο ἡδονὴ καὶ πνευματικὴ Χάρι. Ἀπ᾽ αὐτά, τὸν παρόντα λόγο, ὁ ὁποῖος συγκαταλέγεται καὶ μεταξὺ αὐτῶν, ἔχομε τοποθετήσει ἐδῶ, διότι πάρα πολὺ συντελεῖ στὸν ἐπιδιωκόμενο σκοπὸ τοῦ βιβλίου [τῆς Φιλοκαλίας, δηλαδή, στὸ σκοπὸ τῆς σωτηρίας] καὶ [εἶναι] χρησιμώτατος σ᾽ ἐκείνους, οἱ ὁποῖοι ποθοῦν νὰ γνωρίσουν τὴν γνῶσι τῶν ἀρετῶν καὶ τῶν κακιῶν, ἡ ὁποία διαφεύγει τῆς ἀντιλήψεως τῶν περισσοτέρων. Διότι διδάσκει μὲ σαφήνεια καὶ ποιὲς [εἶναι οἱ ἀρετὲς καὶ οἱ κακίες] καὶ πόσες καὶ σὲ ποιὲς διαιροῦνται κατὰ τὸ εἶδος καὶ τὸ γένος [τους] καὶ πῶς εἶναι δυνατὸν κανεὶς νὰ ἀποκτήσῃ μὲν

σει, τούτων δ᾽ ἐν ἀποκτήσει γενέσθαι. Καὶ ὅλως Λυδία λίθος ἐστί, τὸ δόκιμον χρυσίον τῶν ἀρετῶν, καὶ τὸ ὑπόχαλκον τῶν κακιῶν ἐπιστημονικῶς διακρίνουσα, ὥστε ὁ τὴν γνῶσιν αὐτοῦ ἀκριβῶς ἐναποταμιεύσας τῷ στήθει, ἐπιστήμων ἔσεται πάντων ἐν βραχεῖ πασῶν ἁπαξαπλῶς τῶν ἀρετῶν, καὶ παθῶν.

ἐκεῖνες [τὶς ἀρετές], καὶ νὰ ἀπαλλαγῇ ἀπὸ αὐτές, [δηλαδή, τὶς κακίες]. Καὶ ἐντελῶς [ὁ λόγος αὐτὸς] εἶναι Λυδία λίθος, ἡ ὁποία διακρίνει μὲ ἐπιστημονικὴ ἀκρίβεια τὸ γνήσιο χρυσάφι τῶν ἀρετῶν καὶ τὸ κίβδηλο τῶν κακιῶν, ὥστε ἐκεῖνος ὁ ὁποῖος ἀποταμίευσε μέσα στὴν καρδία [του] μὲ ἀκρίβεια τὴν σοφία αὐτοῦ [τοῦ λόγου], θὰ γίνῃ ἐν συντομίᾳ ἀκριβὴς γνώστης ὅλων καθ᾽ ὁλοκληρίαν τῶν ἀρετῶν καὶ τῶν παθῶν.



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

ΛΟΓΟΙ

Ι

ΛΟΓΟΣ ΨΥΧΩΦΕΛΗΣ ΚΑΙ ΘΑΥΜΑΣΙΟΣ

[1.] Ἰστέον οὖν, ὅτι διπλοῦς ἐστιν ὁ ἄνθρωπος, ἤγουν ἐκ ψυχῆς καὶ σώματος, καὶ διπλᾶς ἔχει καὶ τὰς αἰσθήσεις, διπλᾶς καὶ τὰς τούτων ἀρετάς. Καὶ πέντε μέν εἰσι τῆς ψυχῆς, καὶ πέντε τοῦ σώματος. Καὶ αἱ μὲν ψυχικαὶ αἰσθήσεις, ἃς καὶ δυνάμεις αὐτὰς οἱ σοφοὶ λέγουσιν, εἰσὶν αὗται· νοῦς, διάνοια, δόξα, φαντασία, καὶ αἴσθησις. Αἱ δὲ σωματικαί εἰσιν αὗται· ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις, καὶ ἀφή. Ἔνθεν τοι, διπλαῖ τούτων αἱ ἀρεταί, διπλαῖ καὶ αἱ κακίαι. Ὥστε ἀναγκαῖόν ἐστιν εἰδέναι σαφῶς πάντα ἄνθρωπον, πόσαι μέν εἰσι ψυχικαὶ ἀρεταί, πόσαι δὲ σωματικαί. Καὶ ποῖα αὖθις εἰσὶ τὰ ψυχικὰ πάθη, ποῖα δὲ τὰ σωματικά. [2.] Καὶ ψυχικὰς μὲν ἀρετὰς λέγο-

1. Πρέπει, πράγματι, νὰ γνωρίζωμε, ὅτι ὁ ἄνθρωπος εἶναι διπλός, δηλαδή, [ἀποτελεῖται] ἀπὸ ψυχὴ καὶ ἀπὸ σῶμα καὶ ἔχει διπλὲς καὶ τὶς αἰσθήσεις, διπλὲς καὶ τὶς ἀρετὲς αὐτῶν. Καὶ πέντε μὲν εἶναι [οἱ αἰσθήσεις] τῆς ψυχῆς καὶ πέντε τοῦ σώματος. Καὶ οἱ μὲν ψυχικὲς αἰσθήσεις, τὶς ὁποῖες οἱ σοφοὶ τὶς ὀνομάζουν καὶ δυνάμεις, εἶναι αὐτές: ὁ νοῦς, ὁ λογισμός, τὸ φρόνημα, ἡ φαντασία καὶ ἡ αἴσθησι. Οἱ δὲ σωματικὲς [αἰσθήσεις] εἶναι αὐτές: ἡ ὅρασι, ἡ ὄσφρησι, ἡ ἀκοή, ἡ γεῦσι καὶ ἡ ἀφή. Γιὰ τοῦτο [εἶναι] διπλὲς καὶ οἱ ἀρετές τους, διπλὲς καὶ οἱ κακίες τους. Ὥστε εἶναι ἀναγκαῖο νὰ γνωρίζῃ σαφῶς ὁ κάθε ἄνθρωπος, ἀφ᾽ ἑνὸς πόσες εἶναι οἱ ψυχικὲς ἀρετές, ἀφ᾽ ἑτέρου πόσες οἱ σωματικές. Καὶ πάλι, ποῖα εἶναι τὰ ψυχικὰ πάθη, ποῖα δὲ τὰ σωματικά.

2. Καὶ ψυχικὲς μὲν ἀρετὲς λέγο-

μεν εἶναι προηγουμένως, τὰς γενικωτάτας τέσσαρας ταύτας, αἵτινές εἰσιν· ἀνδρεία, φρόνησις, σωφροσύνη, καὶ δικαιοσύνη. Καὶ ἐκ τούτων ἀποτίκτονται αἱ ψυχικαὶ ἀρεταί, πίστις, ἐλπίς, ἀγάπη[1], προσευχή, ταπείνωσις, πραότης, μακροθυμία, ἀνεξικακία, χρηστότης, ἀοργησία, γνῶσις θεία, τὸ ἄθυμον [recte: εὔθυμον][α'], τὸ ἁπλοῦν, τὸ ἀτάραχον, τὸ ἀνυπόκριτον, τὸ ἄτυφον, τὸ ἀνυπερήφανον, τὸ ἄφθονον, τὸ ἄδολον, τὸ ἀφιλάργυρον, τὸ συμπαθές, τὸ ἐλεημονητικόν, τὸ μεταδοτικόν, τὸ ἄφοβον, τὸ ἄλυπον, τὸ κατανυκτικόν, τὸ αἰδεστικόν, ἡ εὐλάβεια, ἡ τῶν μελλόντων ἀγαθῶν ἔφεσις, ἡ τῆς βασιλείας τοῦ Θεοῦ ὄρεξις, ἡ τῆς υἱοθεσίας ἐπιθυμία. [3.] Ἀρεταὶ δὲ σωματικαὶ αὗται· μᾶλλον δὲ ἐργαλεῖα ἀρετῶν, ἐν γνώσει, καὶ κατὰ Θεὸν γινόμεναι, ἔξω δὲ πάσης ὑποκρίσεως, καὶ ἀνθρωπαρεσκείας, εἰς προκοπὴν ταπεινώσεως, καὶ ἀπαθείας φέρουσαι τὸν ἄνθρωπον. Ἐγκράτεια, νηστεία, πεῖνα, δίψα, ἀγρυπνία, στάσις πάννυχος, κάμψις γονά-

με, κατ᾽ ἀρχάς, ὅτι εἶναι, αὐτὲς οἱ τέσσερες περισσότερο γενικὲς [ἀρετές], οἱ ὁποῖες εἶναι: ἡ ἀνδρεία, ἡ φρόνησι, ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη. Καὶ ἀπὸ αὐτὲς γεννῶνται οἱ ψυχικὲς ἀρετές, [δηλαδή], ἡ πίστι, ἡ ἐλπίδα, ἡ ἀγάπη, ἡ προσευχή, ἡ ταπείνωσι, ἡ πραότητα, ἡ μακροθυμία, ἡ ἀνεξικακία, ἡ χρηστότητα, ἡ ἀοργησία, ἡ θεία γνῶσι, [ἡ κατάστασι] τῆς εὐθυμίας [τῆς πνευματικῆς χαρᾶς], τῆς ἁπλότητος, τῆς ἀταραξίας [τῆς πραότητος], τῆς ἀνυποκρισίας [τῆς εὐθύτητος καὶ εἰλικρινείας], τῆς ἀπουσίας τῆς ἐπάρσεως, τῆς ἐλλείψεως τῆς ὑπερηφανίας, τῆς ἀπουσίας τοῦ φθόνου, τοῦ δόλου [ἢ] τῆς φιλαργυρίας, τῆς συμπαθείας, τῆς ἐλεημοσύνης, τῆς μεταδοτικότητος, τῆς ἀφοβίας, τῆς ἀπουσίας τῆς λύπης, τῆς κατανύξεως, τῆς σεμνότητος, τῆς εὐλαβείας, ἡ ἔφεσι γιὰ τὰ μέλλοντα ἀγαθά, ὁ πόθος τῆς βασιλείας τοῦ Θεοῦ, ἡ ἐπιθυμία τῆς υἱοθεσίας.

3. Σωματικὲς δὲ ἀρετὲς [εἶναι] αὐτές: ἢ μᾶλλον ἐργαλεῖα τῶν ἀρετῶν, οἱ ὁποῖες ὁδηγοῦν τὸν ἄνθρωπο σὲ αὔξησι τῆς ταπεινώσεως καὶ τῆς ἀπαθείας, ὅταν ἐκτελοῦνται ἐν γνώσει καὶ κατὰ Θεόν, [σύμφωνα μὲ τὸ θέλημά Του] καὶ ἔξω ἀπὸ κάθε ὑποκρισία καὶ ἀνθρωπαρέσκεια. [Αὐτὲς εἶναι]: ἡ ἐγκράτεια, ἡ νηστεία, ἡ πεῖνα, ἡ δίψα, ἡ ἀγρυπνία, ἡ ὁλονύκτια στάσι [στὴν προσευχή], ἡ συνεχὴς κάμψι τῶν γονάτων [οἱ μετά-

των συνεχής, ἀλουσία, μονοχιτωνία, ξηροφαγία, βραδυφαγία, ὑδροποσία, χαμευνία, πτωχεία, ἀκτημοσύνη, τὸ αὐχμηρόν, τὸ ἀκαλλώπιστον, τὸ ἀφίλαυτον, τὸ μεμονωμένον, τὸ ἥσυχον, τὸ ἀπρόϊτον, τὸ ἐνδεές, τὸ αὔταρκες, τὸ σιωπηλόν, τὸ ταῖς οἰκείαις χερσὶν ἐργόχειρον μετέρχεσθαι καὶ πᾶσα κακοπάθεια, καὶ ἄσκησις σωματική, καὶ ἄλλα τοιαῦτα, ἅπερ ἅπαντα τοῦ σώματος εὐρωστοῦντος, καὶ ὑπὸ τῶν σαρκικῶν παθῶν ὀχλουμένου, ἀναγκαιότατα τυγχάνουσι, καὶ ὠφελιμώτατα. Ἀσθενοῦντος δέ, καὶ Θεοῦ βοηθείᾳ, τούτων περιγενομένου, οὐ τοσοῦτον ἀναγκαῖά εἰσιν, ὡς τῆς ἁγίας ταπεινώσεως, καὶ εὐχαριστίας πάντα ἀναπληρούσης.

[4.] Ὀφείλομεν οὖν εἰπεῖν καὶ περὶ τῶν ψυχικῶν, καὶ σωματικῶν κακιῶν, ἤγουν παθῶν. Καὶ ψυχικὰ μέν εἰσι πάθη ταῦτα· λήθη, ῥαθυμία καὶ ἄγνοια, ὑφ᾽ ὧν δηλαδὴ τῶν τριῶν τούτων ὁ ὀφθαλμὸς τῆς ψυχῆς, εἴτε [recte: ἤτοι] ὁ νοῦς, σκοτιζόμενος, κυριεύεται ὑπὸ πάν-

νοιες], ἡ ἀλουσία, ἡ κατοχὴ ἑνὸς μόνον ἐνδύματος, ἡ ξηροφαγία, ἡ βραδυφαγία, [δηλαδή, τὸ νὰ μὴ τρώγῃ κανεὶς συχνά], ἡ ὑδροποσία [τὸ νὰ πίνῃ κανεὶς μόνο νερό], ἡ χαμευνία [νὰ κοιμᾶται κάτω], ἡ πτωχεία, ἡ ἀκτημοσύνη, ἡ ἐν αὐστηρότητι διαβίωσι [σκληραγωγία], ἡ ἀποφυγὴ τοῦ καλλωπισμοῦ, ἡ ἀποβολὴ τῆς φιλαυτίας, ἡ μόνωσι, ἡ ἡσυχία, τὸ νὰ μὴν ἐξέρχεται κανεὶς ἔξω [ἀπὸ τὸ κελλί του ἢ τὸ Μοναστήρι του], ἡ στέρησι, ἡ αὐτάρκεια, ἡ σιωπή, τὸ νὰ μετέρχεται κανεὶς μὲ τὰ χέρια του ἐργόχειρο καὶ κάθε κακοπάθεια καὶ σωματικὴ ἄσκησι, καὶ ἄλλα αὐτοῦ τοῦ εἴδους, τὰ ὁποῖα βέβαια, ὅταν τὸ σῶμα εἶναι εὔρωστο [ὑγιὲς καὶ δυνατὸ] καὶ ἐνοχλῆται ἀπὸ τὰ σαρκικὰ πάθη, εἶναι ἀναγκαιότατα καὶ ὠφελιμώτατα. Ὅταν, ὅμως, ἀσθενῇ καὶ μὲ τὴν βοήθεια τοῦ Θεοῦ, ὑπερέβη [ξεπέρασε] αὐτὰ [τὰ πάθη], δὲν εἶναι τόσο ἀναγκαῖα [τὰ σωματικὰ ἀγωνίσματα], διότι ἡ ἁγία ταπείνωσι καὶ ἡ εὐχαριστία ἀναπληρώνει τὰ πάντα.

4. Ὀφείλομε, λοιπόν, νὰ ποῦμε καὶ περὶ τῶν ψυχικῶν καὶ σωματικῶν κακιῶν, δηλαδή, τῶν παθῶν. Καὶ ψυχικὰ μὲν πάθη εἶναι αὐτά: ἡ λήθη, ἡ ῥαθυμία καὶ ἡ ἄγνοια, ἀπὸ τὰ ὁποῖα, δηλαδή, ἀπὸ τὰ τρία αὐτά, ἐπειδὴ σκοτίζεται ὁ ὀφθαλμὸς τῆς ψυχῆς, δηλαδή, ὁ νοῦς, κυριεύεται ἀπὸ ὅλα

των τῶν παθῶν, ἅτινά εἰσι ταῦτα· ἀσέβεια, κακοδοξία, ἤγουν πᾶσα αἵρεσις, βλασφημία, θυμός, ὀργή, πικρία, ὀξυχολία, μισανθρωπία, μνησικακία, καταλαλιά, κατάκρισις, λύπη ἄλογος, φόβος, δειλία, ἔρις, ζῆλος, φθόνος, κενοδοξία, ὑπερηφανία, ὑπόκρισις, ψεῦδος, ἀπιστία, πλεονεξία, φιλοϋλία, προσπάθεια, σχέσις γηΐνων πραγμάτων, ἀκηδία, μικροψυχία, ἀχαριστία, γογγυσμός, τύφος, οἴησις, σοβαρότης, ἀλαζονία, φιλαρχία, ἀνθρωπαρέσκεια, δολιότης, ἀναίδεια, ἀναισθησία, κολακεία, ὑπουλότης, εἰρωνεία, διψυχία, αἱ συγκαταθέσεις τῶν ἁμαρτημάτων ἐκ τοῦ παθητικοῦ μέρους, καὶ ἡ συνεχὴς τούτων μελέτη· πλάνη λογισμῶν, φιλαυτία, ἡ τῶν κακῶν γεννήτρια, καὶ ἡ ῥίζα πάντων τῶν κακῶν, φιλαργυρία[2]*· κακοήθειά τε, καὶ πονηρία. [5.] Σωματικὰ δὲ πάθη, γαστριμαργία, λαιμαργία, τρυφή, μέθη, λαθροφαγία, φιληδονία ποικίλη, πορνεία, μοιχεία, ἀσέλγεια, ἀκαθαρσία, αἱμομιξία, παιδοφθορία, κτηνοβατία, ἐπι-*

τὰ πάθη, τὰ ὁποῖα εἶναι αὐτά: ἡ ἀσέβεια, ἡ κακοδοξία, δηλαδὴ κάθε αἵρεσι, ἡ βλασφημία, ὁ θυμός, ἡ ὀργή, ἡ πικρία [ἡ φαρμακερὴ συμπεριφορά], ἡ ὀξυθυμία, ἡ μισανθρωπία, ἡ μνησικακία, ἡ καταλαλιά, ἡ κατάκρισι, ἡ παράλογος λύπη, ὁ φόβος, ἡ δειλία, ἡ φιλονεικία, ἡ ζηλοτυπία, ὁ φθόνος, ἡ κενοδοξία, ἡ ὑπερηφάνια, ἡ ὑποκρισία, τὸ ψεῦδος, ἡ ἀπιστία, ἡ πλεονεξία, ἡ ἀγάπη πρὸς τὰ ὑλικά, ἡ προσκόλλησι μὲ πάθος σὲ κάτι, ἡ σχέσι μὲ τὰ γήϊνα πράγματα, ἡ ἀκηδία, ἡ μικροψυχία, ἡ ἀχαριστία, ὁ γογγυσμός, ἡ ματαιοδοξία, ἡ ἔπαρσι, ἡ ὑπεροψία, ἡ ἀλαζονεία, ἡ φιλαρχία, ἡ ἀνθρωπαρέσκεια, ἡ δολιότης, ἡ ἀναίδεια, ἡ ἀναισθησία, ἡ κολακεία, ἡ ὑπουλότης, ἡ εἰρωνεία, ἡ διβουλία, οἱ συγκαταθέσεις στὰ ἁμαρτήματα, [ποὺ προέρχονται] ἀπὸ τὸ παθητικὸ μέρος [τῆς ψυχῆς][1] καὶ ἡ συνεχὴς μελέτη αὐτῶν· ἡ πλάνη τῶν λογισμῶν, ἡ φιλαυτία, [δηλαδή], ἡ μητέρα τῶν κακῶν καὶ ἡ φιλαργυρία, ἡ ρίζα ὅλων τῶν κακῶν. Ἐπίσης ἡ κακοήθεια καὶ ἡ πονηρία.

5. Σωματικὰ δὲ πάθη [εἶναι] ἡ γαστριμαργία, ἡ λαιμαργία, ἡ τρυφή, ἡ μέθη, ἡ λαθροφαγία, ἡ ποικιλόμορφη φιληδονία, ἡ πορνεία, ἡ μοιχεία, ἡ ἀσέλγεια, ἡ ἀκαθαρσία, ἡ αἱμομιξία, ἡ παιδοφθορία, ἡ κτηνοβασία, οἱ κακὲς ἐπιθυ-

θυμίαι κακαὶ καὶ πάντα τὰ παρὰ φύσιν αἰσχρὰ πάθη. Κλεψία, ἱεροσυλία, ληστεία, φόνος, ἡ πᾶσα σωματικὴ ἄνεσις, καὶ ἀπόλαυσις τῶν θελημάτων τῆς σαρκός, ὑγιαίνοντος μᾶλλον τοῦ σώματος· μαντεῖαι, μαγεῖαι, οἰωνισμοί, κληδονισμοί, φιλοκοσμίαι, περπερεῖαι, βλακεῖαι, καλλωπισμοί, ἐπιτρίμματα προσώπων, ἡ κατάκριτος ἀργία, μετεωρισμοί, κυβεῖαι, ἡ ἐμπαθὴς τῶν τοῦ κόσμου ἡδέων παράχρησις· ἡ φιλοσώματος ζωή, ἥτις παχύνουσα τὸν νοῦν, γεώδη καὶ κτηνώδη τοῦτον ἀποτελεῖ, καὶ οὐδέποτε πρὸς Θεόν, καὶ τὴν τῶν ἀρετῶν ἐργασίαν ἀνανεῦσαι ἐᾷ. [6.] Ῥίζαι δὲ τούτων πάντων τῶν παθῶν, καὶ ὡς ἂν εἴποι τις πρωταίτιαι, φιληδονία, φιλοδοξία, καὶ φιλαργυρία, ἀφ᾽ ὧν ἀποτίκτεται πᾶν κακόν. Οὐχ ἁμαρτάνει δὲ ὁ ἄνθρωπος οὐδεμίαν ἁμαρτίαν, εἰμὴ πρότερον οἱ κραταιοὶ οὗτοι γίγαντες, καθὼς φησὶν ὁ ἐν ἀσκηταῖς σοφώτατος Μάρκος, περιγένωνται, καὶ κατακυριεύσωσιν. Ἤτοι λήθη, ῥαθυμία, καὶ ἄγνοια. [7.] Ταύ-

μίες καὶ ὅλα τὰ παρὰ φύσιν αἰσχρὰ πάθη. [Ἐπίσης] ἡ κλοπή, ἡ ἱεροσυλία, ἡ ληστεία, ὁ φόνος, ἡ κάθε σωματικὴ ἄνεσι καὶ ἀπόλαυσι τῶν θελημάτων τῆς σαρκός, ἐνῶ μάλιστα ὑγιαίνει τὸ σῶμα. [Ἐπὶ πλέον] οἱ μαντεῖες, οἱ μαγεῖες, οἱ οἰωνισμοὶ [οἱ μαντεῖες ἀπὸ τὴν πτῆσι τῶν πουλιῶν], οἱ κληδονισμοὶ [οἱ ἐπὶ μαντείας παρατηρήσεις ἤχων καὶ ἐξηγήσεις σημείων], ἡ ἀγάπη γιὰ στολισμὸ καὶ ἐξωτερικὲς ἐπιδείξεις, οἱ μεγαλορρημοσύνες, οἱ ἠλιθιότητες, οἱ καλλωπισμοί, τὰ ψιμύθια [φτιασιδώματα] τοῦ προσώπου, ἡ ἀξιοκατάκριτη ὀκνηρία, οἱ μετεωρισμοὶ [τοῦ νοός][2], τὸ παίξιμο τυχερῶν παιγνιδιῶν, ἡ ἐμπαθὴς παράχρησι [κακὴ χρῆσι] τῶν τερπνῶν τοῦ κόσμου, ἡ φιλοσώματος ζωή, ἡ ὁποία μὲ τὸ νὰ παχαίνῃ τὸν νοῦ, τὸν καθιστᾶ γεώδη καὶ κτηνώδη, καὶ οὐδέποτε [τὸν] ἀφήνει νὰ σηκωθῇ ἐπάνω πρὸς τὸν Θεὸ και πρὸς τὴν ἐργασία τῶν ἀρετῶν.

6. Ρίζες δὲ ὅλων αὐτῶν τῶν παθῶν, καὶ ὅπως θὰ ἔλεγε κάποιος πρῶτες αἰτίες [εἶναι] ἡ φιληδονία, ἡ φιλοδοξία καὶ ἡ φιλαργυρία, ἀπὸ τὶς ὁποῖες γεννᾶται κάθε κακό. Δὲν διαπράττει, βέβαια, ὁ ἄνθρωπος καμία ἁμαρτία, ἐὰν προηγουμένως οἱ ἰσχυροὶ αὐτοὶ γίγαντες, ὅπως λέγει ὁ σοφώτατος ἀνάμεσα στοὺς ἀσκητὲς Μάρκος[α], δὲν ὑπερισχύσουν καὶ δὲν κατακυριεύσουν [τὸν ἄνθρωπο]. Δηλαδή, [αὐτοὶ εἶναι] ἡ λήθη, ἡ ῥαθυμία καὶ ἡ ἄγνοια.

τας δὲ ἀποτίκτει ἡδονή, καὶ ἄνεσις, καὶ τὸ ἀγαπᾶν τὴν δόξαν τῶν ἀνθρώπων, καὶ τὸν περισπασμόν. Πρωταίτιος δὲ τούτων ἁπάντων, καὶ οἷα μήτηρ κακίστη, ὡς προείρηται, ἡ φιλαυτία, ἤγουν ἡ ἄλογος φιλία τοῦ σώματος, καὶ ἐμπαθὴς προσπάθεια. Διάχυσις δὲ καὶ ἔκλυσις νοός, μετὰ εὐτραπελίας, καὶ αἰσχρολογίας, πολλῶν κακῶν καὶ πτωμάτων πρόξενοι, ὡς ἡ παῤῥησία καὶ ὁ γέλως. Πρὸς τούτοις δὲ πᾶσι, χρὴ γινώσκειν ὡς ποικίλη τίς ἐστι, καὶ πολύτροπος ἡ ἐμπαθὴς φιληδονία καὶ πολλαὶ αἱ ἀπατῶσαι τὴν ψυχὴν ἡδοναί, ὅταν μὴ νήφουσα πρὸς Θεὸν ἔῤῥωται τῷ θείῳ φόβῳ· καὶ τῇ τοῦ Χριστοῦ ἀγάπῃ, τῆς τῶν ἀρετῶν ἐργασίας ἐπιμελουμένη. Μυρίαι γὰρ φέρονται ἡδοναὶ πρὸς ἑαυτὰς ἕλκουσαι τοὺς τῆς ψυχῆς ὀφθαλμούς· αἱ τῶν σωμάτων, αἱ τῶν χρημάτων, αἱ τῆς τρυφῆς, αἱ τῆς δόξης, αἱ τῆς ῥαθυμίας, αἱ τῆς ὀργῆς, αἱ τῆς δυναστείας, αἱ τῆς φιλαργυρίας, αἱ τῆς πλεονεξίας. Καὶ φαίνονται ἐν ἀπάτῃ λαμπρὰς ἔχου-

7. Αὐτὲς δὲ τὶς γεννᾶ ἡ ἡδονὴ καὶ ἡ ἄνεσι καὶ τὸ νὰ ἀγαπᾷ [κανεὶς] τὴν δόξα τῶν ἀνθρώπων καὶ τὸν περισπασμό. Πρώτη αἰτία, βέβαια, ὅλων αὐτῶν καὶ τρόπον τινὰ πολὺ κακὴ μητέρα, ὅπως προηγουμένως ἔχει λεχθῆ, [εἶναι] ἡ φιλαυτία, δηλαδή, ἡ παράλογη ἀγάπη τοῦ σώματος καὶ ἡ ἐμπαθὴς προσκόλλησι [σ᾽ αὐτό]. Ἡ διάχυσι δὲ καὶ ἡ ἔκλυσι [ἡ ἐκτροπὴ] τοῦ νοὸς μὲ εὐτραπελία [ἀστειολογία] καὶ αἰσχρολογία [γίνονται] πρόξενοι πολλῶν κακῶν καὶ πτώσεων, καθὼς ἡ παρρησία καὶ ὁ γέλωτας. Ἐπὶ πλέον δὲ μὲ ὅλα αὐτά, πρέπει νὰ γνωρίζωμε, πόσο πολὺ ποικιλόμορφη εἶναι καὶ [πόσο] πολυμήχανη [εἶναι] ἡ ἐμπαθὴς φιληδονία καὶ [ὅτι εἶναι] πολλὲς οἱ ἡδονές, οἱ ὁποῖες ἐξαπατοῦν τὴν ψυχή, ὅταν δὲν ἐνδυναμώνεται μὲ τὸν θεῖο φόβο, μὲ τὸ νὰ κρατᾷ νῆψι σχετικὴ πρὸς τὸν Θεὸ καὶ μὲ τὸ νὰ ἐπιμελῆται, διὰ τῆς ἀγάπης τοῦ Χριστοῦ, τὴν ἐργασία τῶν ἀρετῶν. Διότι μύριες ἐμφανίζονται οἱ ἡδονές, οἱ ὁποῖες παρασύρουν πρὸς τὸν ἑαυτόν τους τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς· [δηλαδή, οἱ ἡδονὲς] τῶν σωμάτων, οἱ τῶν χρημάτων, οἱ τῆς ἀπολαύσεως, οἱ τῆς δόξης, οἱ τῆς ῥαθυμίας, οἱ τῆς ὀργῆς, οἱ τῆς ἐξουσίας, οἱ τῆς φιλαργυρίας, οἱ τῆς πλεονεξίας. Καὶ φαίνονται [αὐτὲς οἱ ἡδονὲς], μὲ ἀπατηλὸ τρόπο, ὅτι ἔχουν λαμπρὲς

σαι τὰς ὄψεις, καὶ ἐπεράστους, ἱκανὰς ἐπισπάσασθαι τοὺς περὶ ταῦτα ἐπτοημένους, καὶ μὴ σφόδρα τῆς ἀρετῆς ἐρῶντας, καὶ τὴν ταύτης ὑπομένοντας σκληρότητα. Καὶ πᾶσα δὲ σχέσις γηΐνη, καὶ ἡ πρός τι τῶν ὑλικῶν προσπάθεια ἡδονὴν καὶ τέρψιν ποιεῖ τῷ προσπαθοῦντι, καὶ ἀνόνητον καὶ βλαβερὸν τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν ἐμπαθῶς ἐν τούτῳ δεικνύει· ὡς τούτου ἕνεκεν θυμῷ καὶ ὀργῇ, λύπη τε, καὶ μνησικακίᾳ τῇ τοῦ ποθουμένου ἀποστερήσει, τὸν ἡττώμενον καθυποβάλλεσθαι. Εἰ δὲ μετὰ τῆς προσπαθείας, καὶ μικρά τις ἐπικρατήσῃ συνήθεια, ἀναισθήτως, φεῦ! καὶ ἀνιάτως μέχρι τέλους τῆς ἀλόγου προσπαθείας ἔχεσθαι διὰ τῆς ἐνταῦθα κεκρυμμένης ἡδονῆς, τὸν ἁλόντα παρασκευάζει. Πολυσχιδὴς γάρ ἐστιν ἡ τῆς ἐπιθυμίας ἡδονή, ὡς προείρηται, καὶ οὐ μόνον ἐν τῇ πορνείᾳ, καὶ τῇ ἄλλῃ σωματικῇ ἀπολαύσει ἀποπληροῦται, ἀλλὰ καὶ τοῖς λοιποῖς πάθεσιν. Ἐπεὶ σωφροσύνη, οὐ τοῦτο μόνον ἐστί, τὸ πορνείας ἀπέ-

τὶς ὄψεις [τους] καὶ ἀξιαγάπητες, ἱκανὲς νὰ προσελκύσουν ἐκείνους, οἱ ὁποῖοι συγκινοῦνται, ὅσον ἀφορᾶ αὐτὰ καὶ δὲν ἀγαποῦν σφοδρὰ τὴν ἀρετὴ καὶ δὲν ὑπομένουν τὴν σκληρότητά της. Ἐπίσης δὲ κάθε γήϊνη σχέσι καὶ ἡ προσπάθεια [ἢ προσκόλλησι] πρὸς κάτι ἀπὸ τὰ ὑλικά, προκαλεῖ ἡδονὴ καὶ ἀπόλαυσι σ᾽ ἐκεῖνον, ὁ ὁποῖος προσκολλᾶται [σ᾽ αὐτὸ τὸ ὑλικὸ πρᾶγμα] καὶ ἀποδεικνύει, ὅτι εἶναι ἀνώφελο καὶ βλαβερὸ τὸ ἐπιθυμητικὸ [μέρος] τῆς ψυχῆς, [ὅταν προσκολλᾶται] ἐμπαθῶς πρὸς αὐτό· ἐπειδή, ἐξ αἰτίας του, [κάνει] ἐκεῖνον, ποὺ νικᾶται, [ποὺ λυπᾶται] ἀπὸ τὴν στέρησι αὐτοῦ, τὸ ὁποῖο ἐπιθυμεῖ, νὰ ὑποτάσσεται στὸν θυμὸ καὶ στὴν ὀργή, ἀκόμη στὴν λύπη καὶ στὴν μνησικακία. Ἐάν, βέβαια, μαζὶ μὲ τὴν [ἐμπαθῆ] προσκόλλησι, ἐπικρατήσῃ καὶ κάποια μικρὴ συνήθεια, ἀλλοίμονο! [τότε], κάνει ἐκεῖνον, ὁ ὁποῖος κατελήφθη [ἀπ᾽ αὐτὴν τὴν συνήθεια], νὰ ἀκολουθῇ μέχρι τέλους ἀναισθήτως [χωρὶς νὰ τὸ ἀντιλαμβάνεται] καὶ ἀθεράπευτα τὴν παράλογη προσπάθεια, μέσῳ τῆς ἡδονῆς, ποὺ εἶναι κρυμμένη ἐδῶ [στὴν ἐμπαθῆ προσκόλλησι]. Εἶναι, βέβαια, πολυσχιδὴς [πολυειδὴς] ἡ ἡδονὴ τῆς ἐπιθυμίας, ὅπως ἔχει εἰπωθῇ προηγουμένως, καὶ δὲν ἐκπληρώνεται μόνον στὴν πορνεία

χεσθαι, καὶ τῶν ὑπογαστρίων ἡδονῶν, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν ἡδονῶν ἐκτὸς εἶναι. Ἔνθεν ὁ φιλοχρηματίας, καὶ ὁ φιλαργυρίας καὶ ὁ πλεονεξίας ἐρῶν, ἀκόλαστος. Ὥσπερ γὰρ ἐκεῖνος σωμάτων ἐρᾷ, οὕτω καὶ οὗτος χρημάτων. Μᾶλλον δὲ οὗτος ἀκολαστότερος, ὅσῳ οὐδὲ τοσαύτην ἔχει βίαν τὴν ἐκ τῆς φύσεως συνωθοῦσαν αὐτῷ. Καὶ γὰρ ἀμαθὴς ἡνίοχος ἐκεῖνος ἂν ὡς ἀληθῶς, καὶ μάλιστα λέγοιτο, οὐχ ὁ τὸν σκληρόν, καὶ δυσήνιον μὴ κατέχων ἵππον, ἀλλ᾽ ὁ τὸν ἥμερον, καὶ ἐπιεικέστερον μὴ δυνάμενος ὑποτάξαι. Καὶ δῆλόν ἐστι πανταχόθεν, ὡς περιττὴ καὶ οὐ κατὰ φύσιν ἐστὶν ἡ τῶν χρημάτων ἐπιθυμία, ἅτε μὴ ἐκ φύσεως τὴν βίαν ἔχουσα, ἀλλ᾽ ἐκ μοχθηρᾶς προαιρέσεως· διὸ καὶ ἀσύγγνωστα ἁμαρτάνει ὁ ταύτῃ ἑκὼν ἡττώμενος. Ὥστε χρὴ σαφῶς ἐπιγινώσκειν ἡμᾶς, ὅτι οὐκ εἰς τρυφὴν μόνον καὶ τὴν τῶν σωμάτων ἀπόλαυσιν ἡ φιληδονία ὁρίζεται, ἀλλ᾽ ἐν παντὶ τρόπῳ, καὶ πράγματι, προαιρέσει ψυχῆς ἀγαπωμένῳ, καὶ προ-

καὶ σὲ ἄλλες σωματικὲς ἀπολαύσεις, ἀλλὰ καὶ στὰ ὑπόλοιπα πάθη. Ἐπειδὴ σωφροσύνη δὲν εἶναι μόνον αὐτό, [δηλαδή], τὸ νὰ ἀπέχῃ [κανεὶς] ἀπὸ τὴν πορνεία καὶ τὶς ὑπογάστριες ἡδονές, ἀλλὰ νὰ εἶναι ἐκτὸς καὶ ἀπὸ τὶς ὑπόλοιπες ἡδονές. Ὡς ἐκ τούτου, ἐκεῖνος, ποὺ ἀγαπᾶ τὴν φιλοχρηματία καὶ τὴν φιλαργυρία καὶ τὴν πλεονεξία, [εἶναι] ἀκόλαστος. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος [ὁ προηγούμενος] ἔχει ἔρωτα πρὸς τὰ σώματα, ἔτσι καὶ αὐτὸς [ἔχει ἔρωτα] πρὸς τὰ χρήματα. Μᾶλλον δὲ αὐτὸς [ὁ δεύτερος, εἶναι] περισσότερο ἀκόλαστος, καθόσον δὲν ἔχει τόσο μεγάλη τὴν βία, τὴν [προερχομένη] ἐκ τῆς φύσεως, ἡ ὁποία νὰ τὸν σπρώχνῃ [σ᾽ αὐτὰ τὰ πάθη]. Διότι, βέβαια, ἀμαθὴς ἡνίοχος θὰ λεγόταν, πράγματι, καὶ κατ᾽ ἐξοχήν, ὄχι ἐκεῖνος, ὁ ὁποῖος δὲν συγκρατεῖ τὸ σκληρὸ καὶ ἀνυπότακτο ἄλογο, ἀλλὰ ἐκεῖνος, ποὺ δὲν μπορεῖ νὰ ὑποτάξῃ τὸ ἥμερο καὶ ἠπιότερο. Καὶ εἶναι πρόδηλο ἀπὸ παντοῦ, πόσο εἶναι περιττὴ καὶ ὄχι σύμφωνα μὲ τὴν φύσι ἡ ἐπιθυμία τῶν χρημάτων, ἐπειδὴ δὲν βιάζεται ἀπὸ τὴν φύσι, ἀλλὰ ἀπὸ τὴν κακὴ προαίρεσι [τοῦ ἀνθρώπου]. Γι᾽ αὐτὸ καὶ ἁμαρτάνει ἀσυγχώρητα ἐκεῖνος, ποὺ νικᾶται ἑκουσίως ἀπ᾽ αὐτή, [δηλαδή, τὴν φιλοχρηματία]. Ὥστε πρέπει ἐμεῖς νὰ ἀντιλαμβανώμεθα σαφῶς, ὅτι ἡ φιληδονία δὲν περιορίζεται μόνο στὴν τρυφὴ καὶ τὴν ἀπόλαυσι τῶν σωμάτων, ἀλλὰ σὲ κάθε τρόπο καὶ πρᾶγμα, τὸ ὁποῖο ἀγαπᾶται [ἀπὸ κάποιον] μὲ τὴν προαίρεσι τῆς ψυχῆς καὶ μὲ ἐμπαθῆ προσκόλλησι

σπαθείᾳ. [8.] Ἵνα δὲ σαφέστερον ἔτι τὰ πάθη κατὰ τὸ τῆς ψυχῆς τριμερὲς διαγινώσκηται, καὶ τάδε ἐν ἐπιτόμῳ προσθεῖναι διεκρίναμεν. Ψυχὴ διαιρεῖται εἰς τρία, λογιστικόν, θυμικόν, καὶ ἐπιθυμητικόν· καὶ τοῦ μὲν λογιστικοῦ ἁμαρτήματά εἰσι ταῦτα· ἀπιστία, αἵρεσις, ἀφροσύνη, βλασφημία, ἀχαριστία, καὶ αἱ συγκαταθέσεις τῶν ἁμαρτημάτων, αἳ γίνονται ἐκ τοῦ παθητικοῦ μέρους.

[9.] Ἡ δὲ τούτων τῶν κακῶν ἴασις καὶ θεραπεία, ἡ ἀδίστακτός ἐστι πίστις πρὸς τὸν Θεὸν καὶ τὰ ἀληθινά, καὶ ἀπλανῆ, καὶ ὀρθόδοξα δόγματα τῆς εὐσεβείας· ἡ συνεχής μελέτη τῶν λογίων τοῦ πνεύματος· ἡ καθαρὰ προσευχή, καὶ ἀδιάλειπτος, καὶ ἡ πρὸς Θεὸν εὐχαριστία.

[10.] Τοῦ δὲ θυμικοῦ τὰ ἁμαρτήματά εἰσι ταῦτα· ἡ ἀσπλαγχνία, τὸ μῖσος, τὸ ἀσυμπαθές, τὸ μνησίκακον, ὁ φθόνος, ὁ φόνος, καὶ ἡ συνεχὴς πρὸς τὰ τοιαῦτα μελέτη. Ἡ δὲ τούτων ἴασις, καὶ θεραπεία ἡ φιλανθρωπία, ἡ ἀγάπη, ἡ πραότης, ἡ φιλαδελφία, ἡ συμπάθεια, ἡ ἀνεξικακία,

[σ᾽ αὐτό].

8. Καὶ γιὰ νὰ ἀναγνωρίζωνται δὲ σαφέστερα τὰ πάθη, ὅσα ἀφοροῦν τὸ τριμερὲς τῆς ψυχῆς, κρίναμε σωστὸ νὰ προσθέσωμε καὶ τὰ ἑξῆς, μὲ συντομία: Ἡ ψυχὴ διαιρεῖται σὲ τρία μέρη: στὸ λογιστικό, στὸ θυμικὸ καὶ στὸ ἐπιθυμητικό· καὶ τοῦ μὲν λογιστικοῦ [μέρους] τὰ ἁμαρτήματα εἶναι αὐτά: ἡ ἀπιστία, ἡ αἵρεσι, ἡ ἀφροσύνη, ἡ βλασφημία, ἡ ἀχαριστία καὶ οἱ συγκαταθέσεις τῶν ἁμαρτημάτων, οἱ ὁποῖες προέρχονται ἀπὸ τὸ παθητικὸ μέρος [τῆς ψυχῆς].

9. Αὐτῶν δὲ τῶν κακῶν ἡ ἴασι καὶ ἡ θεραπεία, εἶναι ἡ ἀδίστακτος πίστι πρὸς τὸν Θεὸ καὶ τὰ ἀληθινὰ καὶ ἀπλανῆ [χωρὶς πλάνες] καὶ ὀρθόδοξα δόγματα τῆς εὐσεβείας· ἡ συνεχὴς μελέτη τῶν λόγων τοῦ [Ἁγίου] Πνεύματος· ἡ καθαρὰ καὶ ἀδιάλειπτος προσευχὴ καὶ ἡ εὐχαριστία πρὸς τὸν Θεό.

10. Τοῦ δὲ θυμικοῦ [μέρους] τῆς ψυχῆς τὰ ἁμαρτήματα εἶναι αὐτά: ἡ ἀσπλαγχνία, τὸ μῖσος, ἡ ἔλλειψι συμπαθείας, ἡ μνησικακία, ὁ φθόνος, ὁ φόνος καὶ ἡ συνεχὴς ἐνασχόλησι μὲ αὐτοῦ τοῦ εἴδους [τὰ πράγματα]. Ἡ δὲ ἴασι καὶ ἡ θεραπεία αὐτῶν [εἶναι] ἡ φιλανθρωπία, ἡ ἀγάπη, ἡ πραότης, ἡ φιλαδελφία, ἡ συμπάθεια, ἡ ἀνεξι-

καὶ ἡ χρηστότης. [11.] Τοῦ δὲ ἐπιθυμητικοῦ τὰ ἁμαρτήματά εἰσι ταῦτα· ἡ γαστριμαργία, ἡ λαιμαργία, ἡ οἰνοφλυγία, ἡ πορνεία, ἡ μοιχεία, ἡ ἀκαθαρσία, ἡ ἀσέλγεια, ἡ φιλοχρηματία, ἡ τῆς κενῆς δόξης ἐπιθυμία, χρυσοῦ τε, καὶ πλούτου, καὶ τῶν σαρκικῶν ἡδονῶν. Ἡ δὲ τούτων ἴασις καὶ θεραπεία ἐστὶν ἡ νηστεία, ἡ ἐγκράτεια, ἡ κακοπάθεια, ἡ ἀκτημοσύνη, ὁ τῶν χρημάτων πρὸς πένητας σκορπισμός, ἡ τῶν μελλόντων ἐκείνων ἀθανάτων ἀγαθῶν ἔφεσις, ἡ τῆς βασιλείας τοῦ Θεοῦ ὄρεξις, καὶ ἡ τῆς υἱοθεσίας ἐπιθυμία. [12.] Δέον οὖν ἐνθεῖναι ὑμᾶς [recte: ἡμᾶς] καὶ διάγνωσιν τῶν ἐμπαθῶν λογισμῶν, δι' ὧν πᾶσα ἁμαρτία τελεῖται. Ὀκτὼ εἰσι πάντες οἱ περιεκτικοὶ τῆς κακίας λογισμοί· ὁ τῆς γαστριμαργίας, ὁ τῆς πορνείας, ὁ τῆς φιλαργυρίας, ὁ τῆς ὀργῆς, ὁ τῆς λύπης, ὁ τῆς ἀκηδίας, ὁ τῆς κενοδοξίας, καὶ ὁ τῆς ὑπερηφανίας. Τούτους τοὺς ὀκτὼ λογισμούς, παρενοχλεῖν μέν, ἢ μὴ παρενοχλεῖν, τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν· ἐμμένειν δέ, καὶ μὴ

κακία καὶ ἡ καλωσύνη.

11. Τοῦ δὲ ἐπιθυμητικοῦ τὰ ἁμαρτήματα εἶναι αὐτά: ἡ γαστριμαργία, ἡ λαιμαργία, ἡ οἰνοποσία, ἡ πορνεία, ἡ μοιχεία, ἡ ἀκαθαρσία, ἡ ἀσέλγεια, ἡ φιλοχρηματία, ἡ ἐπιθυμία τῆς κενοδοξίας καὶ τοῦ χρυσοῦ καὶ τοῦ πλούτου καὶ τῶν σαρκικῶν ἡδονῶν. Ἡ ἴασι δὲ αὐτῶν καὶ ἡ θεραπεία εἶναι ἡ νηστεία, ἡ ἐγκράτεια, ἡ κακοπάθεια, ἡ ἀκτημοσύνη, ὁ σκορπισμὸς τῶν χρημάτων πρὸς τοὺς πτωχούς, ἡ ἔφεσι τῶν μελλόντων ἐκείνων ἀθανάτων ἀγαθῶν, ὁ πόθος τῆς βασιλείας τοῦ Θεοῦ καὶ ἡ ἐπιθυμία τῆς υἱοθεσίας.

12. [Ἐκτὸς ἀπ᾽ αὐτά], πρέπει νὰ κάνωμε ἐμεῖς καὶ διάγνωσι τῶν ἐμπαθῶν λογισμῶν, μέσῳ τῶν ὁποίων διαπράττεται κάθε ἁμαρτία. Ὀκτὼ εἶναι ὅλοι οἱ περιεκτικοὶ λογισμοὶ τῆς κακίας: ὁ [λογισμὸς] τῆς γαστριμαργίας, τῆς πορνείας, τῆς φιλαργυρίας, τῆς ὀργῆς, τῆς λύπης, τῆς ἀκηδίας, τῆς κενοδοξίας καὶ τῆς ὑπερηφανίας. Τὸ νὰ μᾶς παρενοχλοῦν μὲν αὐτοὶ οἱ ὀκτὼ λογισμοὶ ἢ νὰ μὴν μᾶς παρενοχλοῦν, [αὐτὸ] δὲν ἀνήκει σὲ ἐκεῖνα, ποὺ ἐξαρτῶνται ἀπὸ μᾶς. Ὅμως τὸ νὰ ἐπιμένωμε ἢ νὰ μὴν ἐπιμένωμε

*ἐμμένειν, ἢ πάθη κινεῖν, ἢ μὴ κινεῖν, τῶν ἐφ᾽ ἡμῖν ἐστιν· ἄλλο δέ ἐστιν προσβολή, καὶ ἕτερον συνδυασμός, καὶ ἄλλο πάλη, καὶ ἄλλο πάθος, καὶ ἄλλο συγκατάθεσις, ἡ ἐγγίζουσα καὶ παρομοιοῦσα τῇ πράξει· καὶ ἄλλο ἐνέργεια, καὶ ἄλλο αἰχμαλωσία. [**13.**] Καὶ προσβολὴ μέν ἐστιν, ἡ ἁπλῶς γινομένη παρὰ τοῦ ἐχθροῦ ὑπόμνησις, οἷον, ποίησον τόδε, ἢ τόδε, ὡς ἐπὶ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν· εἰπέ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται[3]. Τοῦτο, ὡς εἴρηται, οὐκ ἐφ᾽ ἡμῖν ἐστι. [**14.**] Συνδυασμὸς δέ ἐστιν, ἡ παραδοχὴ τοῦ ὑποβαλλομένου λογισμοῦ παρὰ τοῦ ἐχθροῦ, καὶ οἷον μετ᾽ αὐτοῦ μελέτη, καὶ ἐνήδονος ὁμιλία, ἡ παρὰ τῆς προαιρέσεως ἡμῶν. [**15.**] Πάθος δέ, ἡ ἀπὸ τοῦ συνδυασμοῦ ἕξις γινομένη τοῦ παρὰ τοῦ ἐχθροῦ ὑποβαλλομένου πάθους, καὶ οἱονεὶ συνεχὴς μελέτη, καὶ φαντασία. [**16.**] Πάλη δέ, ἡ ἀντίστασις τοῦ λογισμοῦ, ἡ πρὸς ἀναίρεσιν τοῦ ἐν τῷ λογισμῷ πάθους, ἤτοι τοῦ ἐμπαθοῦς λογισμοῦ, ἢ πρὸς συγκατάθεσιν· καθὼς φησιν ὁ Ἀπόστο-*

[σ᾽ αὐτοὺς τοὺς λογισμούς], ἢ νὰ κινοῦμε τὰ πάθη ἢ νὰ μὴν τὰ κινοῦμε, [αὐτὸ] ἀνήκει σὲ ἐκεῖνα, ποὺ ἐξαρτῶνται ἀπὸ μᾶς. Ἄλλο δὲ [πρᾶγμα] εἶναι ἡ προσβολὴ καὶ ἄλλο ὁ συνδυασμὸς καὶ ἄλλο ἡ πάλη καὶ ἄλλο τὸ πάθος καὶ ἄλλο ἡ συγκατάθεσι, ἡ ὁποία προσεγγίζει καὶ προσομοιάζει μὲ τὴν πρᾶξι· καὶ ἄλλο [πρᾶγμα] ἡ ἐνέργεια καὶ ἄλλο ἡ αἰχμαλωσία.

13. Καὶ προσβολὴ μὲν εἶναι ἡ ὑπόμνησι, ἡ ὁποία γίνεται ἁπλᾶ ἀπὸ τὸν ἐχθρό, ὅπως ἐπὶ παραδείγματι, κάνε αὐτό, ἢ [κάνε] ἐκεῖνο, ὅπως [ἔκανε] στὸν Κύριο καὶ Θεό μας. [Τοῦ εἶπε ὁ διάβολος]: λέγε, νὰ γίνουν οἱ λίθοι αὐτοὶ ἄρτοι. Αὐτό, ὅπως ἔχει λεχθῆ, δὲν ἐξαρτᾶται ἀπὸ ἐμᾶς.

14. Συνδυασμὸς δὲ εἶναι ἡ ἀποδοχὴ τοῦ λογισμοῦ, ὁ ὁποῖος [μᾶς] ὑποβάλλεται ἀπὸ τὸν ἐχθρὸ καὶ κατὰ κάποιον τρόπο ἡ μελέτη [ἡ ἐνασχόλησι] μ᾽ αὐτὸν [τὸν λογισμὸ] καὶ ἡ ἡδονικὴ συνομιλία [μαζί του], ἡ [ὁποία γίνεται] ἐκ τῆς προαιρέσεώς μας.

15. Πάθος δὲ [εἶναι] ἡ ἕξις [ἡ συνήθεια], ποὺ προκύπτει ἀπὸ τὸν συνδυασμό, [δηλαδή, τὴν ἀποδοχὴ τοῦ λογισμοῦ], ὁ ὁποῖος ὑποβάλλεται ἀπὸ τὸν ἐχθρὸ καὶ κατὰ κάποιο τρόπο ἡ συνεχὴς μελέτη καὶ φαντασία [τοῦ λογισμοῦ].

16. Ἐνῶ πάλη [εἶναι], ἡ ἀντίστασι τοῦ λογισμοῦ, [ποὺ γίνεται] ἢ πρὸς ἀναίρεσι τοῦ πάθους, [τὸ ὁποῖο δημιουργήθηκε] στὸν λογισμό, δηλαδή, [ἄρνησι] τοῦ ἐμπαθοῦς λογισμοῦ, ἢ πρὸς συγκατάθεσι [σ᾽ αὐτόν]· καθὼς λέγει ὁ Ἀπό-

λος, ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀλλήλοις ἀντίκεινται[4]*. [17.] Αἰχμαλωσία δέ ἐστι, βιαία καὶ ἀκούσιος τῆς καρδίας ἀπαγωγή, ἀπὸ προλήψεως, καὶ μακρᾶς συνηθείας τυραννουμένης. [18.] Συγκατάθεσις δέ, ἡ κατάνευσις πρὸς τὸ πάθος τοῦ λογισμοῦ. [19.] Ἐνέργεια δέ, αὐτὴ ἡ πρᾶξις τοῦ ἐν συγκαταθέσει ἐμπαθοῦς λογισμοῦ. Τοίνυν ὁ τὸ πρῶτον ἀπαθῶς λογιζόμενος, ἢ ἀντιῤῥήσει, καὶ ἐμβριθείᾳ ἐκ πρώτης ἀποπεμπόμενος, ἤτοι τὴν προσβολήν, πάντα τὰ ἔσχατα ὑφ᾽ ἓν περιέκοψεν. [20.] Τῶν δὲ ὀκτὼ παθῶν ἡ ἀναίρεσις, οὕτω γινέσθω. Ἀναιρεῖται μὲν ὑπὸ ἐγκρατείας, ἡ γαστριμαργία· ὑπὸ δὲ θείου πόθου, καὶ ἐφέσεως τῶν μελλόντων ἀγαθῶν, ἡ πορνεία· ὑπὸ δὲ συμπαθείας τῆς πρὸς τοὺς πένητας, ἡ φιλαργυρία· ὑπὸ δὲ τῆς ἀγάπης τῆς πρὸς πάντας καὶ τῆς ἀγαθότητος, ἡ ὀργή· ὑπὸ δὲ τῆς πνευματικῆς χαρᾶς, ἡ κοσμικὴ λύπη· ὑπὸ δὲ τῆς ὑπομονῆς, καὶ τῆς καρτερίας, καὶ τῆς πρὸς τὸν*

στολος, ἡ σάρκα, βέβαια, ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. Αὐτὰ δὲ [τὸ πνεῦμα καὶ ἡ σάρκα] ἀντιμάχονται μεταξύ τους.

17. Αἰχμαλωσία δὲ εἶναι ἡ βιαία καὶ ἀκούσιος ἀπαγωγὴ [ἁρπαγὴ] τῆς καρδίας, ἡ ὁποία τυραννεῖται ἀπὸ πρόληψι, [δηλαδή, ἀπὸ προηγούμενη ἐφάμαρτη πτῶσι] καὶ ἀπὸ μακρὰ συνήθεια.

18. Ἐνῶ συγκατάθεσι [εἶναι], ἡ συγκατάνευσι τοῦ λογισμοῦ πρὸς τὸ πάθος.

19. Ἐνέργεια δὲ [εἶναι] αὐτὴ καθ᾽ ἑαυτὴν ἡ πρᾶξι τοῦ ἐμπαθοῦς λογισμοῦ, σύμφωνα μὲ τὴν συγκατάθεσί μας. Ἑπομένως, ἐκεῖνος, ὁ ὁποῖος συλλογίζεται τὸ πρῶτο, δηλαδὴ τὴν προσβολή, μὲ ἀπάθεια, ἢ τὸ ἀπομακρύνει ἐξ ἀρχῆς μὲ ἀντίρρησι [ἀντίλογο] καὶ ἐμβρίθεια [βαθύτητα σκέψεως], ὅλα τὰ ἐπακολουθοῦντα διὰ μιᾶς τὰ περιέκοψε.

20. Τῶν δὲ ὀκτὼ παθῶν ἡ κατάργησι ἂς γίνεται κατ᾽ αὐτὸν τὸν τρόπο: Ἡ γαστριμαργία μὲν ἀναιρεῖται ἀπὸ τὴν ἐγκράτεια· ἀπὸ δὲ τὸν θεῖο πόθο καὶ τὴν ἔφεσι τῶν μελλόντων ἀγαθῶν, [καταργεῖται] ἡ πορνεία· ἐνῶ ἡ φιλαργυρία [ἀναιρεῖται] ἀπὸ τὴν συμπάθεια πρὸς τοὺς πτωχούς. Ἀπὸ τὴν ἀγάπη δὲ τὴν πρὸς ὅλους καὶ ἀπὸ τὴν ἀγαθότητα [καταργεῖται] ἡ ὀργή. Ἀπὸ τὴν πνευματικὴ δὲ χαρά, ἡ κοσμικὴ λύπη. Ἡ δὲ ἀκηδία [ἀναιρεῖται], ἀπὸ τὴν ὑπομονὴ καὶ τὴν καρτερία

Θεὸν εὐχαριστίας, ἡ ἀκηδία· ὑπὸ δὲ τῆς κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καὶ τῆς ἐν συντριβῇ καρδίας συνεχοῦς προσευχῆς, ἡ κενοδοξία· ὑπὸ δὲ τοῦ μὴ κρίνειν τινά, ἢ ἐξουθενεῖν, ὡς ὁ μεγάλαυχος Φαρισαῖος[5]*, ἀλλ᾽ ἡγεῖσθαι ἑαυτὸν ἔσχατον πάντων, ἡ ὑπερηφανία. [21.] Οὕτως οὖν τῶν εἰρημένων παθῶν ὁ νοῦς ἐλευθερωθείς, καὶ πρὸς Θεὸν ἀνυψωθείς, ἀπεντεῦθεν ζῇ τήν μακαρίαν ζωήν, τὸν ἀῤῥαβῶνα δεχόμενος τοῦ Ἁγίου Πνεύματος*[6]*· καὶ τῶν ἐντεῦθεν ἀποδημήσας μετὰ ἀπαθείας, καὶ γνώσεως ἀληθοῦς, παρίσταται τῷ φωτὶ τῆς Ἁγίας Τριάδος, μετὰ τῶν θείων ἀγγέλων εἰς αἰῶνας ἀπεράντους καταλαμπόμενος. [22.] Τριμερὴς τοίνυν οὖσα, ὡς προδεδήλωται, ἡ ψυχή, τρία γὰρ μέρη ταύτης εἰσί· λογισμός, θυμός, καὶ ἐπιθυμία· ἐάν ἐστιν ἐν τῷ θυμικῷ ἀγάπη, καὶ φιλανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ καθαρότης, καὶ σωφροσύνη, ὁ λογισμός ἐστι πεφωτισμένος. Ἐὰν δὲ ἐν τῷ θυμικῷ μισανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ ἀκολασία, ὁ λογισμός ἐστιν ἐσκο-*

καὶ τὴν εὐχαριστία πρὸς τὸν Θεό. Ἐνῶ ἡ κενοδοξία [καταργεῖται] ἀπὸ τὴν κρυπτὴ ἐργασία τῶν ἀρετῶν καὶ ἀπὸ τὴν ἀδιάλειπτη προσευχή, [ποὺ γίνεται] μὲ συντριβὴ καρδίας. Ἡ δὲ ὑπερηφάνια [ἐκδιώκεται] ἀπὸ τὸ νὰ μὴν κρίνῃ [κανεὶς] κάποιον ἢ νὰ τὸν ἐξουθενώνῃ, ὅπως ὁ ὑψηλόφρων Φαρισαῖος, ἀλλὰ νὰ θεωρῇ τὸν ἑαυτόν του τελευταῖο ἀπὸ ὅλους.

21. Κατ᾽ αὐτὸν τὸν τρόπο, λοιπόν, ἀφοῦ ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ τὰ πάθη, τὰ ὁποῖα ἀναφέραμε [προηγουμένως] καὶ ἀνυψωθῇ πρὸς τὸν Θεό, βιώνει ἀπὸ ἐδῶ [τὴν παροῦσα ζωή], τὴν μακαρία ζωή, δεχόμενος τὸν ἀρραβῶνα τοῦ Ἁγίου Πνεύματος· καὶ ἀναχωρώντας ἀπό τὰ ἐδῶ [πράγματα], μὲ ἀπάθεια καὶ ἀληθινὴ γνῶσι, παρευρίσκεται ἐμπρὸς στὸ φῶς τῆς Ἁγίας Τριάδος, καταυγαζόμενος [ἀπὸ αὐτὸ τὸ φῶς] μαζὶ μὲ τοὺς θείους Ἀγγέλους, στοὺς ἀπεράντους αἰῶνες.

22. Ὅπως, λοιπόν, ἔχει προδηλωθῆ, ἡ ψυχὴ εἶναι τριμερής, διότι τρία εἶναι τὰ μέρη αὐτῆς: ὁ λογισμὸς [τὸ λογιστικὸ μέρος], ὁ θυμὸς [τὸ θυμικὸ μέρος] καὶ ἡ ἐπιθυμία [τὸ ἐπιθυμητικὸ μέρος]· ἐὰν στὸ θυμικὸ [μέρος] ὑπάρχῃ ἀγάπη καὶ φιλανθρωπία, καὶ στὸ ἐπιθυμητικό, καθαρότης καὶ σωφροσύνη, [τότε] ὁ λογισμὸς εἶναι φωτισμένος. Ἐὰν στὸ θυμικὸ [ὑπάρχῃ] μισανθρωπία καὶ στὴν ἐπιθυμία, ἀκολασία, [τότε] ὁ λογισμὸς εἶναι ἐσκοτισμένος.

τισμένος. Ὁ μὲν οὖν λογισμός, τότε ὑγιαίνει, καὶ σωφρονεῖ, καὶ φωτίζεται, ὅτε τὰ πάθη ἔχει ὑποτεταγμένα, καὶ τοὺς λόγους τῶν κτισμάτων τοῦ Θεοῦ πνευματικῶς θεωρεῖ, καὶ πρὸς τὴν Μακαρίαν, καὶ Ἁγίαν Τριάδα ἀνάγεται. [23.] Ὁ δὲ θυμὸς τότε πάλιν κινεῖται κατὰ φύσιν, ὅτε πάντας ἀνθρώπους ἀγαπᾷ, καὶ πρὸς οὐδένα αὐτῶν, ἢ λύπην, ἢ μνησικακίαν κέκτηται. [24.] Ἡ δὲ ἐπιθυμία, ὅταν ὑπὸ ταπεινοφροσύνης, καὶ ἐγκρατείας, καὶ ἀκτημοσύνης νεκρώσῃ τὰ πάθη, τουτέστιν ἡδονὴν σαρκός, καὶ χρημάτων, καὶ δόξης παρερχομένης ἔφεσιν, καὶ τραπῇ πρὸς τὸν θεῖον, καὶ ἀθάνατον ἔρωτα. [25.] Καὶ γὰρ ἡ ἐπιθυμία, πρὸς τρία τὴν κίνησιν ἔχει· ἢ πρὸς ἡδονὴν σαρκός, ἢ πρὸς δόξαν κενήν, ἢ πρὸς ἀπάτην χρημάτων. Καὶ διὰ τὴν παράλογον ταύτην ἔφεσιν, καταφρονεῖ τοῦ Θεοῦ, καὶ τῶν θείων αὐτοῦ ἐντολῶν, καὶ τῆς θείας εὐγενείας ἐπιλανθάνεται, καὶ πρὸς τὸν πλησίον ἐκθηριοῦται, καὶ τὸν λογισμὸν σκοτίζει, καὶ οὐκ ἐᾷ ἀναβλέψαι

Ἐπομένως, ὁ μὲν λογισμός, τότε ὑγιαίνει καὶ σωφρονεῖ καὶ φωτίζεται, ὅταν ἔχῃ τὰ πάθη ὑποταγμένα καὶ θεωρῇ μὲ πνευματικὸ τρόπο, τοὺς λόγους τῶν κτισμάτων τοῦ Θεοῦ, καὶ [δι᾽ αὐτῶν, τῶν λόγων τῶν ὄντων] ἀνυψώνεται πρὸς τὴν Μακαρία καὶ Ἁγία Τριάδα.

23. Ὁ δὲ θυμὸς [τὸ θυμικὸ μέρος τῆς ψυχῆς], τότε πάλι κινεῖται κατὰ φύσιν, ὅταν ἀγαπᾷ ὅλους τοὺς ἀνθρώπους καὶ δὲν κρατᾷ πρὸς κανέναν ἀπ᾽ αὐτοὺς ἢ λύπη ἢ μνησικακία.

24. Ἡ δὲ ἐπιθυμία, [τότε κινεῖται κατὰ φύσιν], ὅταν, μὲ ταπεινοφροσύνη καὶ ἐγκράτεια καὶ ἀκτημοσύνη, νεκρώσῃ τὰ πάθη, δηλαδὴ τὴν ἡδονὴ τῆς σαρκός, καὶ τὴν ἔφεσι γιὰ τὰ χρήματα καὶ τὴν δόξα ἡ ὁποία παρέρχεται καὶ στραφῇ πρὸς τὸν θεῖο καὶ ἀθάνατο ἔρωτα.

20. Ἔλεγε ἀκόμη καὶ αὐτό: ὅτι οἱ λογισμοί, οἱ ὁποῖοι γεννῶνται στὴν διάνοια, σχετικὰ μὲ τὰ μάταια [πράγματα] εἶναι ἀσθένειες ψυχῆς ἀργῆς, [ποὺ μένει, δηλαδή, χωρὶς ἐργασία] καὶ ὀκνηρῆς.

21. Ἁρμόζει, λοιπόν, σύμφωνα μὲ αὐτό, ποὺ ἔχει γραφῆ, νὰ τηροῦμε τὸν νοῦ μας μὲ κάθε προσοχὴ καὶ νὰ ψάλλωμε ἀπερίσπαστα μὲ ἐπίγνωσι καὶ νὰ προσευχώμεθα μὲ τὸν νοῦ καθαρό. Ἑπομένως, ἀδελφοί, ὁ Θεὸς θέλει νὰ ἐπιδεικνύωμε τὸν πρὸς Αὐτὸν ζῆλο μας, κατὰ πρῶτον μὲ κόπους [ἀσκητικούς], ἔπειτα μὲ ἀγάπη καὶ ἀδιάλειπτη προσευχή, καὶ Αὐτὸς θὰ μᾶς χαρίσῃ τὴν

τηρίας ὁδόν. [22.] Εὔδηλον δὲ ὡς οὐκ ἄλλη ὁδός ἐστιν, ἡ πρὸς τὸν οὐρανὸν ἀνάγουσα, εἰμὴ ἡ τελεία ἡσυχία καὶ ἡ τῶν κακῶν ἁπάντων φυγὴ καὶ ἡ τῶν ἀγαθῶν κτῆσις καὶ ἡ πρὸς αὐτὸν τελεία ἀγάπη καὶ τὸ συγγενέσθαι Θεῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· ὡς εἴ τις ἐν τούτοις γένηται, τάχιστα ἐπὶ τὸν οὐράνιον ἀναδραμεῖται χῶρον. Δεῖ δὲ πάντως τὸν ἐπὶ τοῦτο ἀνελθεῖν τὸ ὕψος ἐπιθυμοῦντα, νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς[8]. [23.] Ὅταν γὰρ ἡ ψυχὴ ἡμῶν τῇ θεωρίᾳ τοῦ ὄντος ἀγαθοῦ ἐνευφραίνηται, πρὸς οὐδὲν ἐπιστρέφεται τῶν καθ᾽ ἡδονὴν ἐνεργουμένων παθῶν· ἀλλὰ πᾶσαν ἀποστραφεῖσα σωματικὴν ἡδυπάθειαν, καθαρᾷ καὶ ἀμολύντῳ διανοίᾳ, τὴν τοῦ Θεοῦ δέχεται ἐμφάνειαν. [24.] Πολλῆς οὖν χρῄζομεν φυλακῆς, καὶ πόνων σωματικῶν, καὶ καθάρσεως ψυχῆς, ὅπως ἐνοικήσωμεν τὸν Θεόν ἐν ταῖς καρδίαις ἡμῶν· ἵνα τοῦ λοιποῦ ἐκτελῶμεν ἀπλανῶς τὰς θείας αὐτοῦ ἐντολάς· αὐτός τε λοιπὸν διδάσκει ἡμᾶς ἀσφαλῶς τοὺς νόμους αὐτοῦ

ὁδὸ τῆς σωτηρίας.

22. [Εἶναι] δὲ πολὺ φανερό, ὅτι δὲν ὑπάρχει ἄλλη ὁδός, ἡ ὁποία ἀνυψώνει πρὸς τὸν οὐρανό, παρὰ μόνον ἡ τελεία ἡσυχία καὶ ἡ ἀποφυγὴ ἀπὸ ὅλα τὰ κακὰ καὶ ἡ ἀπόκτησι τῶν ἀγαθῶν, ἐπὶ πλέον ἡ τελεία ἀγάπη πρὸς Αὐτὸν καὶ τὸ νὰ εἴμαστε προσκολλημένοι στὸν Θεὸ μὲ ὁσιότητα καὶ κάθε ἀρετή· ὁπότε, ἐὰν κάποιος εὑρεθῇ σ᾽ αὐτά, [δηλαδή, τὰ κατακτήσῃ] πολὺ γρήγορα θὰ ἀνυψωθῇ στὸν οὐράνιο χῶρο. Βέβαια, πρέπει, ὁπωσδήποτε, ἐκεῖνος, ὁ ὁποῖος ἐπιθυμεῖ νὰ ἀνέβῃ πάνω σ᾽ αὐτὸ τὸ ὕψος [τῶν οὐρανίων καταστάσεων], νὰ νεκρώσῃ [πρῶτα] τὰ χοϊκὰ μέλη του.

23. Διότι, ὅταν ἡ ψυχή μας, ἀγαλλιάζῃ μὲ τὴν θεωρία τοῦ ὄντος [τοῦ πραγματικοῦ] Ἀγαθοῦ [δηλαδὴ τοῦ Θεοῦ], δὲν ἐπιστρέφει σὲ κανένα ἀπὸ τὰ κατ᾽ ἐνέργειαν [τὰ ἔμπρακτα] πάθη τῆς ἡδονῆς· ἀλλὰ ἀφοῦ ἀποστραφῇ κάθε σωματικὴ ἡδυπάθεια, μὲ καθαρὰ καὶ ἀμόλυντη [πλέον] διάνοια, δέχεται τὴν ἐμφάνεια τοῦ Θεοῦ [ἀξιώνεται δηλαδὴ Θεοφανείας].

24. Ἑπομένως, ἔχομε ἀνάγκη ἀπὸ πολλὴ προσοχὴ καὶ σωματικοὺς κόπους καὶ ἀπὸ κάθαρσι τῆς ψυχῆς, γιὰ νὰ καταστήσωμε τὸν Θεὸ ἔνοικο στὶς καρδίες μας, ὥστε νὰ ἐκτελοῦμε στὸ ἑξῆς, τὶς θεῖες ἐντολὲς ἀπλανῶς, [δηλαδὴ χωρὶς τὸν κίνδυνο τῆς πλάνης ἀπὸ ἰδιαίτερη δική μας διάκρισι]. Καὶ ἑπομένως ὁ ἴδιος θὰ μᾶς διδάσκῃ νὰ τηροῦμε μὲ ἀσφάλεια τοὺς νόμους

τηρεῖν, καθάπερ ἀκτῖνας ἡλιακὰς τὰς οἰκείας ἐνεργείας ἐκπέμπων, διὰ τῆς ἐντεθείσης τοῦ πνεύματος χάριτος. [25.] Διὰ γὰρ πόνων, καὶ πειρασμῶν δεῖ ἐκκαθάραι ἡμᾶς τὴν εἰκόνα, καθ᾽ ἣν γεγόναμεν λογικοί, καὶ πάσης συνέσεως δεκτικοί, καὶ τῆς πρὸς Θεὸν ὁμοιώσεως· πάσης κηλῖδος ἀμιγεῖς φέροντες τὰς αἰσθήσεις, ἀναχαλκευομένας τρόπον τινὰ διὰ τῆς καμίνου τῶν πειρασμῶν, καὶ μεταποιούμενοι εἰς τὸ βασιλικὸν ἀξίωμα. [26.] Μέτοχον γὰρ παντὸς ἀγαθοῦ, καὶ τὴν ἀνθρωπίνην φύσιν ἐδημιούργησεν ὁ Θεός, δυναμένην νοερῶς θεωρεῖν τὰς τῶν ἀγγέλων χορείας, τὰς δόξας τῶν κυριοτήτων, τὰς δυνάμεις, τὰς ἀρχάς, τὰς ἐξουσίας, τὸ φῶς τὸ ἀπρόσιτον, τὴν δόξαν τὴν ὑπεραστράπτουσαν. [27.] Ὅταν δὲ κατορθώσῃς ἀρετήν, μὴ ἐπαρθῇ σου ὁ λογισμὸς κατὰ τοῦ ἀδελφοῦ, ὡς σοῦ κατορθώσαντος, κἀκείνου ἀμελήσαντος· ἀρχὴ γὰρ ὑπερηφανίας τοῦτό ἐστι. [28.] Πάσῃ δυνάμει τήρει μηδὲν ποιεῖν κατὰ ἀνθρωπαρέσκειαν. Ἐὰν δὲ ἀγωνίζῃ

του, μὲ τὸ νὰ ἐκπέμπῃ, ὅπως ἀκριβῶς τὶς ἡλιακὲς ἀκτῖνες [τὶς ἄκτιστες] ἐνέργειές Του, διὰ τῆς Χάριτος τοῦ [Παναγίου] Πνεύματος, τὴν ὁποία τοποθέτησε μέσα μας [διὰ τοῦ Ἁγίου Βαπτίσματος].

25. Διότι, διὰ μέσου πόνων καὶ πειρασμῶν, πρέπει νὰ ἀποκαθάρωμε τὴν εἰκόνα ἐκείνη, σύμφωνα μὲ τὴν ὁποία ἔχομε γίνει λογικοὶ καὶ δεκτικοὶ κάθε συνέσεως καὶ τῆς ὁμοιώσεως πρὸς τὸν Θεό. Ἐπειδὴ τὶς αἰσθήσεις μας, καθὼς πυρακτώνονται [καὶ λιώνουν ἀναμορφούμενες], ὅπως ὁ χαλκός, τρόπον τινά, μέσα στὸ καμίνι τῶν πειρασμῶν, [τότε τὶς] καθιστοῦμε ἀμιγεῖς [καθαρές], ἀπὸ κάθε κηλῖδα καὶ μεταποιούμεθα στὸ βασιλικὸ ἀξίωμα.

26. Διότι, ὁ Θεός, ἐδημιούργησε καὶ τὴν ἀνθρώπινη φύσι μέτοχο σὲ κάθε ἀγαθό, ἡ ὁποία δύναται νὰ θεωρῇ τὶς χορεῖες τῶν Ἀγγέλων, τὶς δόξες τῶν Κυριοτήτων, τὶς Δυνάμεις, τὶς Ἀρχές, τὶς Ἐξουσίες, τὸ ἀπρόσιτο φῶς, τὴν ἀπαστράπτουσα δόξα.

27. Ὅταν, βέβαια, κατορθώσῃς [καὶ ἀποκτήσῃς] ἀρετή, μὴν ὑψηλοφρονήσῃ ὁ λογισμός σου, ἐναντίον τοῦ ἀδελφοῦ, ὅτι δῆθεν ἐσὺ κατόρθωσες [τὴν ἀρετή], καὶ ἐκεῖνος [τὴν] ἀμέλησε· διότι αὐτὸ εἶναι ἀρχὴ τῆς ὑπερηφανίας.

28. Πρόσεχε, μὲ ὅλη τὴν δύναμί [σου], τίποτε νὰ μὴν κάνῃς γιὰ ἀνθρωπαρέσκεια. Ἐάν, δὲ ἀγωνίζεσαι

πρὸς τὸ πάθος, μὴ ἐκκακίσῃς· μηδὲ ὀλιγωρήσῃς, εἴπερ ἐπιμένει ὁ πόλεμος· ἀλλ᾽ ἀναστάς, ῥίψον σεαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἐν ὅλῃ καρδίᾳ μετὰ τοῦ Προφήτου λέγων· Δίκασον, Κύριε τοὺς ἀδικοῦντάς με[9]· ἐγὼ γὰρ οὐ δύναμαι πρὸς αὐτούς. Καὶ αὐτός, βλέπων τὴν ταπείνωσίν σου, τάχιον ἀποστελεῖ σοι τὴν βοήθειαν αὐτοῦ. Ὅταν δὲ περιπατῇς μετά τινος ἐν ὁδῷ, μὴ παραδέξῃ ματαίαν ὁμιλίαν· ἀλλὰ δὸς τῷ νῷ, ἥνπερ εἶχε πνευματικὴν ἐργασίαν, ὅπως γένηται αὐτῷ συνήθεια ἀγαθή, καὶ λήθη τῶν τοῦ κόσμου ἡδέων, καὶ εἰς τοὺς τῆς ἀπαθείας καταντήσῃ λιμένας. Τούτοις καὶ πλείοσι λόγοις κατηχήσας τὸν ἀδελφόν, ἀπέλυσε. [29.] Μετὰ δὲ χρόνον ὀλίγον, πάλιν ἐπανῆλθε πρὸς αὐτόν, καὶ τῆς ἐρωτήσεως ἀπαρξάμενος ἔλεγε· Τί ποιήσω, Πάτερ, ὅτι ἐν τῇ νυκτερινῇ μου λειτουργίᾳ ὁ ὕπνος βαρεῖ με, καὶ οὐκ ἐᾷ νηφόντως προσεύχεσθαι, ἀλλ᾽ οὔτε ἀγρυπνῆσαι ἐκ περισσοῦ; καὶ θέλω ἐργόχειρον ψηλαφῆσαι ἡνίκα ψάλλω; Ὁ δὲ ἔφη· ὅταν δύνῃ νηφόντως

ἐναντίον τοῦ πάθους, μὴν λιποψυχήσῃς, οὔτε νὰ ἀμελήσῃς, ἐὰν ἐπιμένῃ ὁ πόλεμος· ἀλλὰ ἀφοῦ ἐγερθῇς [δηλαδὴ ἀφήσῃς τὴν ραθυμία], ρίξε τὸν ἑαυτόν σου ἐνώπιον τοῦ Θεοῦ, λέγοντας, μὲ ὅλη σου τὴν καρδία μαζὶ μὲ τὸν Προφήτη [Δαυΐδ]: Δίκασε, Κύριε, αὐτούς, οἱ ὁποῖοι μὲ ἀδικοῦν, διότι ἐγὼ δὲν δύναμαι [νὰ πολεμήσω] ἐναντίον τους. Καὶ Αὐτός, βλέποντας τὴν ταπείνωσί σου, τὸ γρηγορότερο θὰ σοῦ στείλῃ τὴν βοήθειά του. Ὅταν πάλι, περιπατῇς μὲ κάποιον στὸν δρόμο, νὰ μὴν συγκατανεύσῃς [νὰ ἀκούσῃς] μάταιο λόγο ἀλλά, δῶσε στὸν νοῦ [σου], τὴν πνευματικὴ ἐργασία, τὴν ὁποία ἀκριβῶς εἶχε, ὥστε νὰ γίνῃ σ᾽ αὐτὸν καλὴ συνήθεια καὶ λησμοσύνη τῶν τερπνῶν τοῦ κόσμου καὶ [ἔτσι] νὰ φθάσῃ τελικὰ στοὺς λιμένες τῆς ἀπαθείας. Μὲ αὐτὰ καὶ μὲ περισσότερα λόγια, ἀφοῦ κατήχησε τὸν ἀδελφό, τὸν ἄφησε νὰ φύγῃ.

29. Μετὰ δὲ ἀπὸ λίγο χρόνο, ἐπέστρεψε πάλι [ὁ ἀδελφὸς] πρὸς αὐτὸν [τὸν Ἀββᾶ Φιλήμονα] καὶ ἀφοῦ ἄρχισε τὴν ἐρώτησι, ἔλεγε: Τί νὰ κάνω, Πάτερ, διότι κατὰ τὴν νυκτερινὴ ἀκολουθία μου, μὲ καθιστᾶ βαρὺ ὁ ὕπνος καὶ δὲν μὲ ἀφήνει νὰ προσευχηθῶ μὲ νῆψι [μὲ ἐγρήγορσι δηλαδή], ἀλλὰ οὔτε νὰ ἀγρυπνήσω ἀρκετά; καὶ ὅταν ψάλλω, θέλω νὰ πιάσω τὸ ἐργόχειρο [καὶ ν᾽ ἀσχοληθῶ μ᾽ αὐτό]; Καί, αὐτὸς τοῦ ἀπήντησε: ὅταν δύνασαι νὰ προσεύχεσαι μὲ νῆψι,

προσεύχεσθαι, μὴ ψηλαφήσῃς ἐργόχειρον. Εἰ δὲ ἀκηδίᾳ κατασχεθῇς, μικρὸν κινήθητι ἐπαπειλῶν τῷ λογισμῷ, καὶ ψηλάφησον τὸ ἐργόχειρον. Ὁ δὲ πάλιν πρὸς αὐτὸν ἔφη· αὐτὸς δέσποτα οὐ βαρῇ τῷ ὕπνῳ ἐν τῇ λειτουργίᾳ σου; Λέγει αὐτῷ· δυσχερῶς μέν, πλήν, εἰ φθάσῃ ποτὲ μικρόν, κινοῦμαι καὶ λέγω ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου ἀπαρχῆς, ἐκτείνων πρὸς τὸν Θεὸν τὸ ὄμμα τῆς διανοίας, καὶ εὐθὺς ἀφανὴς γίνεται. Ὡσαύτως δέ, καὶ περὶ τῶν λογισμῶν κέχρημαι· ὅταν γὰρ ἐπέλθῃ, ἀπαντῶ αὐτῷ ὡς πῦρ μετὰ δακρύων, καὶ ἀφανὴς γίνεται. Σὺ δὲ τέως οὕτως οὐ δύνασαι ὁπλίσασθαι, ἀλλὰ μᾶλλον κράτει πάντοτε κρυπτὴν μελέτην, καὶ τὰς τυπωθείσας παρὰ τῶν Ἁγίων Πατέρων ἡμερινάς τε εὐχάς· λέγω δή, τρίτην, ἕκτην καὶ ἐνάτην, ἑσπερινά· καὶ τὰς νυκτερινὰς λειτουργίας σπούδασον ἐπιτελεῖν· πάσῃ δὲ δυνάμει τηρεῖν, μηδὲν ποιεῖν κατὰ ἀνθρωπαρέσκειαν, μηδὲ ἔχειν ποτὲ ἔχθραν κατὰ τοῦ ἀδελφοῦ σου, ἵνα μὴ χω-

μὴν ἀσχοληθῇς μὲ τὸ ἐργόχειρο. Ἐάν, ὅμως καταληφθῇς ἀπὸ ἀκηδία, ἂς κινηθῇς λίγο, ἀπειλώντας τὸν λογισμό [σου], καὶ πιᾶσε τὸ ἐργόχειρο. Καὶ [ὁ ἀδελφὸς] πάλι, εἶπε πρὸς αὐτὸν [τὸν Ἀββᾶ]: [Ἐσὺ] ὁ ἴδιος Δέσποτα, δὲν βαρύνεσαι ἀπὸ τὸν ὕπνο κατὰ τὴν ἀκολουθία σου; [Καὶ ἐκεῖνος] ἀπαντᾶ σ᾽ αὐτόν: Δύσκολα [σπάνια βαρύνομαι], πλήν, ὅμως, ἐὰν κάποτε γιὰ λίγο ἔλθῃ [ὕπνος], κινοῦμαι καὶ λέγω ἀπὸ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιο, ἀπὸ τὴν ἀρχή, ἀτενίζοντας πρὸς τὸν Θεὸ τὸν ὀφθαλμὸ τῆς διανοίας [μου] καὶ ἀμέσως ἐξαφανίζεται. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὅσον ἀφορᾶ τοὺς λογισμοὺς συμπεριφέρομαι· διότι, ὅταν ἐπέλθῃ [ὁ λογισμός], ἐμφανίζομαι σ᾽ αὐτὸν σὰν φωτιά, μετὰ δακρύων καὶ [ἐκεῖνος] ἐξαφανίζεται. Ἐσύ, ὅμως, δὲν δύνασαι ἀκόμη, νὰ ὁπλισθῇς ἔτσι, ἀλλὰ περισσότερο κράτα πάντοτε τὴν κρυπτὴ μελέτη καὶ τὶς ἡμερήσιες προσευχὲς ποὺ ὁρίσθηκαν ἀπὸ τοὺς Ἁγίους Πατέρες· ἐννοῶ δηλαδή, τὴν Τρίτη [ὥρα], τὴν Ἕκτη, καὶ τὴν Ἐνάτη, [καὶ] τὸν Ἑσπερινό· καὶ φρόντισε νὰ ἐπιτελῇς καὶ τὶς νυκτερινὲς ἀκολουθίες. Ἐπίσης, [φρόντισε], μὲ ὅλη [σου] τὴν δύναμι νὰ προσέχῃς, ὥστε νὰ μὴν κάνῃς τίποτε γιὰ νὰ ἀρέσῃς στοὺς ἀνθρώπους, οὔτε νὰ ἔχῃς ποτὲ ἔχθρα ἐναντίον τοῦ ἀδελφοῦ σου, γιὰ νὰ μὴν χωρίσῃς

ρίσης σεαυτὸν ἀπὸ τοῦ Θεοῦ σου. Σπούδασον ἀμετεώριστόν σου τὴν διάνοιαν φυλάξαι, ἐπιμελῶς ἔχουσαν πρὸς τοὺς ἔσωθεν λογισμούς. [30.] Ἐπειδὰν ἐν τῇ ἐκκλησίᾳ ὤν, καὶ μέλλεις μεταλαμβάνειν τῶν θείων τοῦ Χριστοῦ μυστηρίων, μὴ ἐξέλθῃς ἄχρις ἂν λάβῃς τὴν τελείαν εἰρήνην· ἐν ἑνὶ τόπῳ ἑστηκώς, μὴ ἀποστῇς ἐκεῖθεν ἕως ἀπολύσεως. Νόμιζε δὲ σεαυτὸν ἐν τῷ οὐρανῷ ἑστάναι καὶ μετὰ τῶν Ἁγίων Ἀγγέλων τῷ Θεῷ ἀπαντῆσαι καὶ αὐτὸν ὑποδέξασθαι ἐν τῇ καρδίᾳ. Ἐν φόβῳ οὖν, καὶ τρόμῳ πολλῷ παρασκευάζου, ἵνα μὴ ἀναξίως μετάσχῃς τῶν Ἁγίων δυνάμεων. Καὶ ἐπὶ τούτοις καλῶς καθοπλίσας τὸν ἀδελφόν, τῷ Κυρίῳ, καὶ τῷ Πνεύματι τῆς χάριτος αὐτοῦ τοῦτον παραθέμενος[10], ἀπέλυσεν. [31.] Πρὸς δὲ τούτοις, διηγεῖτο ἔτι καὶ ὁ συνὼν αὐτῷ ἀδελφὸς ταῦτα· ὅτι περ καθεζομένου μου ποτὲ πλησίον αὐτοῦ, ἠρώτησα αὐτόν, εἰ ἐπειράθη ἐπιβουλαῖς δαιμόνων ἐν ταῖς ἐρήμοις καθεζόμενος. Ὁ δέ φησι· συγχώρησον ἀδελφέ·

τὸν ἑαυτόν σου, ἀπὸ τὸν Θεό σου. Ἀγωνίσου νὰ φυλάξῃς τὴν διάνοιά σου ἀμετεώριστη, ἐπιμελουμένη τοὺς ἐσωτερικοὺς λογισμούς, [στραμμένη στὴν καρδία σου].

30. Ὁπόταν εὑρίσκεσαι στὴν Ἐκκλησία καὶ πρόκειται νὰ μεταλάβῃς τῶν θείων τοῦ Χριστοῦ Μυστηρίων, μὴν βγῇς ἔξω μέχρις ὅτου θὰ λάβῃς τὴν τελευταία εἰρήνη [δηλαδὴ μέχρι τὴν τελευταία εὐχὴ τῆς ἀπολύσεως]. Ἐνῶ [δὲ] ἔχεις σταθῇ σὲ ἕνα τόπο, μὴν μετακινηθῇς ἀπὸ ἐκεῖ ἕως τὴν ἀπόλυσι. Θεώρησε δέ, ὅτι ὁ ἑαυτός σου στέκεται στὸν οὐρανὸ καὶ ὅτι μαζὶ μὲ τοὺς Ἁγίους Ἀγγέλους θὰ συναντήσῃς τὸν Θεὸ καὶ θὰ ὑποδεχθῇς αὐτὸν στὴν καρδία σου. Ἑπομένως, νὰ προετοιμάζεσαι μὲ φόβο καὶ τρόμο πολύ, γιὰ νὰ μὴν γίνῃς μέτοχος τῶν Ἁγίων δυνάμεων ἀναξίως. Καὶ μὲ [ὅλα] αὐτά, ἀφοῦ ἐφοδίασε καλὰ μὲ ὅλα του τὰ ὅπλα τὸν Ἀδελφὸ καὶ ἀνέθεσε αὐτὸν στὸν Κύριο καὶ στὸ Πνεῦμα τῆς Χάριτός του, τὸν ἀπέλυσε [τοῦ ἔδωσε τὴν εὐλογία νὰ φύγῃ].

31. Ἐκτός, ὅμως ἀπὸ αὐτά, διηγεῖτο ἀκόμη καὶ ὁ ἀδελφός, ὁ ὁποῖος ἔμενε μαζί του τὰ ἑξῆς: ὅτι κάποτε μάλιστα, ὅταν καθόμουν πλησίον του, ἐρώτησα αὐτόν, ἐὰν πειράσθηκε ἀπὸ ἐπιβουλὲς δαιμόνων, ὅταν ἔμενε, [δηλαδή, ἀσκήτευε] στὴν ἔρημο. Καὶ αὐτὸς [μοῦ] λέγει: Συγχώρεσέ [με] Ἀδελφέ·

ἐὰν συγχωρήσῃ ὁ Θεὸς ἐλθεῖν εἰς σέ, οὓς ὑπέστην πειρασμοὺς ὑπὸ τοῦ διαβόλου, οὐκ οἶμαι δύνασθαί σε ὑπενεγκεῖν τὴν τούτων πικρίαν. Ἑβδομηκοστὸν τοῦτο ἔτος ἔχω, ἢ καὶ πρός· πλεῖον ἐν τοῖς πειρασμοῖς ὑπομένων καὶ διαφόρους οἰκήσας ἐρήμους ἐν ἡσυχίᾳ ἀκροτάτῃ, τοσαῦτα ἐπειράθην, καὶ πέπονθα ἐξ αὐτῶν ἅπερ οὐ συμφέρει τοῖς μήπω εἰληφόσι πεῖραν ἡσυχίας, διηγήσασθαι τὴν τούτων πικρίαν. [32.] Τοῦτο δὲ ἀεὶ ἐν τοῖς πειρασμοῖς ἐποίουν· πᾶσαν τὴν ἐλπίδα μου τῷ Θεῷ ἀνετίθουν, πρὸς ὃν καὶ τὰς συνθήκας τῆς ἀποταγῆς ἐποιησάμην. Καὶ αὐτὸς εὐθέως πάσης ἀνάγκης ἐῤῥύετό με. Διὸ ἀδελφὲ οὐκ ἔτι ἐμαυτοῦ πρόνοιαν ποιοῦμαι. Οἶδα γὰρ αὐτὸν ὑπὲρ ἐμοῦ μεριμνῶντα, καὶ κουφοτέρως φέρω τοὺς ἐπαγομένους μοι πειρασμούς. Τοῦτο δὲ αὐτὸ μόνον οἴκοθεν προσφέρω, τό, ἀδιαλείπτως προσεύχεσθαι[11]*. Οἶδα γάρ, ὅτι ὅσον ἐπιτείνεται τὰ δεινά, τοσοῦτον προξενοῦνται οἱ στέφανοι τῷ ὑπομένοντι. Συναλλάγματα γάρ εἰσι ταῦ-*

ἐὰν ἐπιτρέψῃ ὁ Θεὸς νὰ ἔλθουν σὲ σένα, αὐτοὶ οἱ πειρασμοί, τοὺς ὁποίους ὑπέστην ἀπὸ τὸν διάβολο, δὲν νομίζω, ὅτι ἐσὺ δύνασαι νὰ ὑπομείνῃς τὴν πικρία αὐτῶν. Ἑβδομηκοστὸ ἔχω αὐτὸ τὸ ἔτος [εἶμαι ἑβδομῆντα ἐτῶν] ἢ καὶ παραπάνω. Κάνοντας ὑπομονὴ τὸν περισσότερο [χρόνο] μέσα στοὺς πειρασμοὺς καὶ κατοικώντας σὲ διάφορες ἐρήμους, σὲ ἀκρότατη ἡσυχία, τόσα πολλὰ ὑπέστην καὶ ἔχω ὑποφέρει ἀπὸ αὐτοὺς [τοὺς δαίμονες], ποὺ δὲν συμφέρει [πνευματικὰ] σὲ ἐκείνους, οἱ ὁποῖοι δὲν ἔχουν γευθῆ ἀκόμη τὴν ἐμπειρία τῆς ἡσυχίας, νὰ διηγηθῶ τὴν πικρία αὐτῶν.

32. Αὐτὸ δὲ ἔκανα πάντοτε στοὺς πειρασμούς. Ἀνέθετα ὅλη τὴν ἐλπίδα μου στὸν Θεό, πρὸς τὸν ὁποῖο καὶ ἔδωσα τὶς ὑποσχέσεις τῆς ἀποταγῆς [μου]. Καὶ Αὐτός, ἄμεσα μὲ ἀπάλλασσε ἀπὸ κάθε ἀνάγκη. Γι᾽ αὐτό, ἀδελφέ, δὲν λαμβάνω πλέον πρόνοια γιὰ τὸν ἑαυτόν μου. Διότι, γνωρίζω, ὅτι Αὐτὸς μεριμνᾶ γιὰ μένα καὶ [ἔτσι] ὑποφέρω ἐλαφρότερα τοὺς πειρασμούς, οἱ ὁποῖοι ἐπέρχονται σὲ μένα. Αὐτὸ δὲ μόνον προσφέρω [ἐγὼ] ἀπὸ τὸν ἑαυτόν μου, τὸ νὰ προσεύχωμαι ἀδιάλειπτα. Ἐπειδή, ἔχω ἐπίγνωσι, ὅτι ὅσο ἐπιτείνονται οἱ δοκιμασίες, τόσο προξενοῦνται στεφάνια σ᾽ αὐτὸν ποὺ ὑπομένει. Διότι, αὐτά, [δηλαδή, οἱ πειρασμοὶ - τὰ δεινὰ] εἶναι συναλλάγματα [γραμμάτια γιὰ ἀνταμοι-

τα παρὰ τῷ δικαίῳ κριτῇ. Ταῦτ᾽ οὖν εἰδώς, ἀδελφέ, μὴ τῇ ῥαθυμίᾳ καταπέσῃς, εἰδὼς ὅτι μέσον τοῦ πολέμου ἕστηκας ἀγωνιζόμενος, καὶ πλείστους ὄντας τοὺς ὑπὲρ ἡμῶν πολεμοῦντας τῷ ἐχθρῷ τοῦ Θεοῦ. Πῶς γὰρ οἷόν τε ἦν ἡμᾶς κατατολμᾶν πρὸς οὕτω φοβερὸν ἀντίπαλον τοῦ ἡμετέρου γένους, εἰ μὴ ἡ κρατίστη δεξιὰ τοῦ Θεοῦ Λόγου συνεῖχεν ἡμᾶς περιέπουσα καὶ σκέπουσα; πῶς ὑφίστατο ἡ ἀνθρωπίνη φύσις τὰς ἐπιβουλὰς αὐτοῦ; [33.] Τίς γάρ, φησίν, ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; εἰς δὲ πτύξιν θώρακος αὐτοῦ, τίς ἂν εἰσέλθῃ; ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι, καὶ διαῤῥιπτοῦνται ἐσχάραι πυρός· ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καιομένης αἰθάλης, πυρὶ ἀνθράκων. Ἡ ψυχὴ αὐτοῦ ἄνθρακες· φλὸξ δὲ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται· ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις. Ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια· ἡ καρδία αὐτοῦ πέπηγεν ὡσεὶ λίθος· ἕστηκεν, καὶ ὥς περ ἄκμων

βῆ] ἐνώπιον τοῦ δικαίου Κριτοῦ. Ἑπομένως, ἀφοῦ ἔχεις ἐν γνώσει σου, αὐτὰ ἀδελφέ, μὴν καταπέσῃς στὴν ῥαθυμία, γνωρίζοντας ὅτι ἔχεις σταθῆ νὰ ἀγωνίζεσαι στὸ μέσον τοῦ πολέμου, καὶ ὅτι εἶναι πάρα πολλοὶ ἐκεῖνοι, οἱ ὁποῖοι πολεμοῦν ὑπὲρ ἡμῶν, ἐναντίον τοῦ ἐχθροῦ τοῦ Θεοῦ, [δηλαδή, τοῦ διαβόλου]. Διότι πῶς ἦταν δυνατὸν ἐμεῖς νὰ ἐπιτιθέμεθα ἐναντίον τόσο φοβεροῦ ἀντιπάλου τοῦ γένους μας, ἐὰν δὲν μᾶς συγκρατοῦσε ἡ παντοδύναμη δεξιὰ τοῦ Θεοῦ Λόγου, προστατεύοντας καὶ σκεπάζοντάς [μας]; Πῶς θὰ ἄντεχε ἡ ἀνθρώπινη φύσι τὶς ἐπιβουλές του; 33. Διότι, λέγει, ποιὸς θὰ ξεσκεπάσῃ τὸ πρόσωπο αὐτοῦ [τοῦ διαβόλου] ἀπὸ τὴν ἐξωτερικὴ περιβολή του; Καὶ ποιὸς μπορεῖ νὰ εἰσχωρήσῃ στὶς πτυχὲς τοῦ θώρακος αὐτοῦ; Ἀπὸ τὸ στόμα του ἐξέρχονται φλεγόμενες λαμπάδες, καὶ ξεπετάγονται ἑστίες φωτιᾶς· ἀπὸ τὰ ῥουθούνια του ἐξέρχεται καπνὸς καιομένης αἰθάλης, [ὅπως] ἀπὸ φωτιά, [ποὺ προέρχεται] ἀπὸ κάρβουνα [ποὺ ἀνάβουν]. Ἡ ψυχή του [εἶναι, ὅπως] τὰ κάρβουνα, καὶ ἀπὸ τὸ στόμα του ξεχύνεται φλόγα. Στὸν δὲ τράχηλό του συσσωρεύεται ἡ δύναμί του. Μπροστὰ ἀπ᾽ αὐτὸν τρέχει ἡ καταστροφή· ἡ καρδία του ἔχει σκληρύνει σὰν τὴν πέτρα· καὶ ἔχει σταθῆ σὰν ἀμόνι

ἀνάλωτος· ἀναζεῖ τὴν ἄβυσσον, ὥς περ χαλκεῖον· ἡγεῖται τὴν θάλασσαν, ὥς περ ἐξάλειπτρον· τὸν δὲ τάρταρον τῆς ἀβύσσου, ὥς περ αἰχμάλωτον. Πᾶν ὑψηλὸν ὁρᾷ, αὐτὸς βασιλεύων πάντων τῶν ἐν τοῖς ὕδασι[12]*. Πρὸς τοῦτον ἡμῖν ἡ πάλη ἀδελφέ. Τὸν τοιοῦτον καὶ τηλικοῦτον ὑπέγραψεν ὁ λόγος τύραννον. [34.] Ἀλλὰ τούτου ἡ νίκη ῥαδίως τοῖς νομίμως τὸν μονήρη βίον ἐπανῃρημένοις γίνεται, διὰ τὸ μὴ ἔχειν τι τῶν αὐτοῦ· διὰ τῆς ἀποταγῆς τοῦ κόσμου, καὶ τῆς ἀνδραγαθίας τῶν ἀρετῶν· διὰ τὸ ἔχειν ἡμᾶς τὸν ὑπὲρ ἡμῶν πολεμοῦντα. Τίς γὰρ προσελθὼν τῷ Κυρίῳ, εἰπέ μοι, καὶ τὸν φόβον αὐτοῦ ἐν νῷ λαβών, οὐ μετεποιήθη τῇ φύσει; καὶ τοῖς θείοις νόμοις τε, καὶ ἔργοις καταλαμπρύνας ἑαυτόν, φαεινοτάτην ψυχὴν οὐκ εἰργάσατο; καὶ τοῖς θείοις νοήμασιν, καὶ λογισμοῖς ἀπαστράπτειν οὐ παρασκευάσεν; ἀργὴν δὲ αὐτὴν οὐκ ἐᾷ. Ἔχει γὰρ τὸν Θεὸν διεγείροντα τὸν νοῦν, ἀκορέστως ἐφίεσθαι τοῦ φωτός. Καὶ πυκνῶς ἐνεργουμένη ἡ*

ἄκαμπτο· ἀναβράζει τὴν ἄβυσσο, ὅπως ἀκριβῶς στὸ σιδηρουργεῖο [τὸ φυσερό]. Θεωρεῖ τὴν θάλασσα ὅπως ἀκριβῶς μυροδοχεῖο· τὸν δὲ τάρταρο τῆς ἀβύσσου, [τὸν κρατᾶ] ὅπως ἀκριβῶς ἕναν αἰχμάλωτο. Βλέπει κάθε ὑψηλό, [καὶ] αὐτὸς βασιλεύει σὲ ὅλα ὅσα εἶναι μέσα στὰ νερά. Ἐναντίον αὐτοῦ [εἶναι] ἡ πάλη μας ἀδελφέ. Αὐτὸν ὑποδήλωσε ὁ λόγος [τῆς Ἁγίας Γραφῆς] τύραννο, [ποὺ εἶναι] αὐτοῦ τοῦ [φοβεροῦ] εἴδους καὶ τόσο ἰσχυρός.

34. Ὅμως, ἡ νίκη ἐναντίον αὐτοῦ εὔκολα ἐπιτυγχάνεται ἀπὸ ἐκείνους, οἱ ὁποῖοι ἔχουν ἀναδεχθῆ νόμιμα τὸν μοναχικὸ βίο, ἕνεκα τοῦ ὅτι μὲ τὴν ἀποταγὴ τοῦ κόσμου καὶ τὴν ἀνδραγαθία τῶν ἀρετῶν, δὲν ἔχουν κάτι ἀπὸ τὰ δικά του, [δηλαδὴ τίποτε δὲν ἔχουν κοινὸ μὲ τὸν διάβολο], ἐξ αἰτίας τοῦ ὅτι ἐμεῖς ἔχομε [μαζί μας] Ἐκεῖνον, ποὺ πολεμᾶ ὑπὲρ ἡμῶν [τὸν Θεό μας]. Διότι, ἀπάντησέ μου, ποιὸς [εἶναι] ἐκεῖνος ποὺ προσῆλθε στὸν Κύριο, καὶ ἔλαβε στὸν νοῦ [του] τὸν φόβο του [καὶ] δὲν μετεβλήθη κατὰ τὴν φύσι; καί, ἀφοῦ κατελάμπρυνε τὸν ἑαυτόν του καὶ μὲ τὶς θεῖες ἐντολὲς καὶ μὲ τὰ ἔργα, δὲν ἀπειργάσθη ὁλοφώτεινη τὴν ψυχή του; καὶ δὲν τὴν κατήρτισε [ἔτσι] ὥστε νὰ ἀπαστράπτῃ ἀπὸ τὰ θεῖα νοήματα καὶ τοὺς [θείους] λογισμούς; [Αὐτὸς ὁ ἀγωνιστὴς] δὲν τὴν ἀφήνει [τὴν ψυχή του] ἀργή. Διότι ἔχει τὸν Θεό, ποὺ τοῦ διεγείρει τὸν νοῦ καὶ ἐπιθυμεῖ ἀχόρταγα τὸ Φῶς. Καὶ ἐπειδὴ αὐτὴ ἡ ψυχὴ δέχεται συνεχῶς

τοιαύτη ψυχή, οὐ συγχωρεῖται ὑπὸ τοῦ πνεύματος ἐν τοῖς πάθεσι καταμαλακίζεσθαι. Ἀλλ᾿ οἷά τις βασιλεύς, δριμύ, καὶ φοβερὸν [addendum: μένος] κατὰ τῶν ἐναντίων πνέων, κόπτων τε ἀφειδῶς, καὶ μηδαμῶς ἐπιστρεφόμενος εἰς τὰ ὀπίσω· ἀλλὰ διὰ τῆς πρακτικῆς τὰς χεῖρας εἰς οὐρανὸν κινῶν, καὶ διὰ τῆς προσευχῆς τοῦ νοῦ, τὴν νίκην ποιεῖται τοῦ πολέμου.

[35.] Διηγεῖτο δὲ πάλιν καὶ τοῦτο ὁ αὐτὸς ἀδελφός· ὅτι περ πρὸς ταῖς ἄλλαις αὐτοῦ ἀρεταῖς, καὶ ταύτην ἐκέκτητο· οὐδέποτε ἀργὸν ἠνείχετο ἀκοῦσαι λόγον. Εἰ δὲ καί τις ἐξ ἀπροσεξίας διηγεῖτο πρᾶγμα μὴ συντεῖνον εἰς ὠφέλειαν ψυχῆς, οὐδ᾿ ὅλως ἀπεκρίνετο. Ἀλλ᾿ οὐδὲ ἀπερχομένου μου ποτὲ εἰς διακονίαν, ἠρώτα, διατὶ ἀπέρχῃ; ἢ πάλιν ἐρχομένου μου, ἔλεγε, ποῦ εἶ; ἢ πῶς, ἢ τί πεποίηκας; Ποτὲ γοῦν καταπλεύσαντός μου ἐπὶ Ἀλεξάνδρειαν διὰ ἀναγκαίαν χρείαν, κἀκεῖθεν ἀνελθόντος μου ἐπὶ τὴν βασιλίδα τῶν πόλεων, ἐκκλησιαστικοῦ πράγματος ἕνεκα· καὶ δή,

τὴν ἐνέργεια [τοῦ Ἁγίου Πνεύματος], δὲν ἀφήνεται ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα νὰ χάνῃ τὴν ρωμαλεότητά [της] στὰ πάθη. Ἀλλά, ὅπως, κάποιος βασιλεύς, ὁ ὁποῖος πνέει σκληρὸ καὶ φοβερὸ μένος, ἐναντίον τῶν ἐχθρῶν [του] καὶ θανατώνοντάς [τους] ἀλύπητα, [προχωρεῖ συνεχῶς ἐμπρός], χωρὶς νὰ στρέφεται καθόλου πρὸς τὰ πίσω, καὶ ἐπιτυγχάνει τὴν νίκη τοῦ πολέμου, ὑψώνοντας τὰ χέρια του στὸν οὐρανὸ διὰ τῆς πρακτικῆς [ἀρετῆς] καὶ διὰ τῆς προσευχῆς τοῦ νοός.

35. Ἐδιηγεῖτο δὲ πάλι, ὁ ἴδιος ἀδελφὸς καὶ αὐτό: Ὅτι, βέβαια, ἐπὶ πλέον μὲ τὶς ἄλλες ἀρετές του εἶχε ἀποκτήσει κι αὐτή: οὐδέποτε ἀνεχόταν νὰ ἀκούσῃ ἀργὸ λόγο. Ἐάν, δὲ κάποιος ἀπὸ ἀπροσεξία, ἐδιηγεῖτο [κάποιο] πρᾶγμα, τὸ ὁποῖο, δὲν συνέτεινε [δὲν βοηθοῦσε] στὴν ὠφέλεια τῆς ψυχῆς, δὲν ἀπεκρίνετο καθόλου. Ἀλλὰ οὔτε, ὅταν ἔφευγα κάποτε [νὰ πάω] γιὰ διακονία, ρωτοῦσε: γιατὶ φεύγεις; ἢ πάλι, ὅταν ἐπέστρεφα μοῦ ἔλεγε: ποῦ ἦσουν; ἢ πῶς [πέρασες] ἢ τί ἔχεις κάνει; Κάποτε, λοιπόν, ἐνῶ κατέπλευσα πρὸς τὴν Ἀλεξάνδρεια γιὰ [κάποια] ἀναγκαία διακονία, καὶ ἀπὸ ἐκεῖ ἀνέβηκα πρὸς τὴν βασιλίδα τῶν πόλεων [τὴν Κωνσταντινούπολι], ἕνεκα [μιᾶς] ἐκκλησιαστικῆς ὑποθέσεως, καὶ μάλιστα,

συνταξάμενος τοῖς ἐκεῖ εὐλαβεστάτοις ἀδελφοῖς ἀνῆλθον, μηδεμίαν ἀπόκρισιν δηλώσας τῷ τοῦ Θεοῦ θεράποντι. Διατρίψας οὖν ἐκεῖ χρόνον ἱκανόν, ἐπανῆλθον πάλιν ἐν τῇ σκήτῃ πρὸς αὐτόν. Ὁ δὲ ἰδών με, καὶ περιχαρὴς γενόμενος, καὶ ἀσπασάμενός με, ποιήσας εὐχὴν ἐκάθησε, μηδὲν τὸ παράπαν ἐρωτήσας με, ἀλλὰ τῇ θεωρίᾳ προσασχολούμενος διέμενε. ***[36.]*** *Ποτὲ γοῦν δοκιμάσαι αὐτὸν βουλόμενος, ἔμεινα ἐπὶ ἡμέρας, μὴ ἐπιδεδωκὼς αὐτῷ ἄρτον φαγεῖν. Ὁ δὲ οὐκ ἐπεζήτησεν, οὐδὲ εἶπέ τι. Ἐγὼ δὲ μετὰ ταῦτα βαλὼν αὐτῷ μετάνοιαν, εἶπον πρὸς αὐτόν· ποίησον ἀγάπην, Πάτερ, καὶ εἰπέ· ἆρα οὐκ ἐλυπήθης, ὅτι οὐκ ἤνεγκά σοι κατὰ τὴν συνήθειαν φαγεῖν; Ὁ δέ φησι· συγχώρησον ἀδελφέ· εἴκοσιν ἡμέρας ἐὰν μή μοι δῷς ἄρτον φαγεῖν, οὐκ ἔτι ζητῶ παρὰ σοῦ· ἄχρις οὗ γὰρ ὑπομένω τῇ ψυχῇ, οὕτω καὶ τῷ σώματι. Τοσοῦτον ἦν τῇ θεωρίᾳ τοῦ ὄντος ἀγαθοῦ προσασχολούμενος. Ἔλεγε δέ, ὅτι ἀφ᾽ οὗ ἦλθον ἐν τῇ σκή-*

ἀφοῦ ἀποχαιρετίστηκα μὲ τοὺς εὐλαβεστάτους ἀδελφούς, [ποὺ ἦταν] ἐκεῖ, ἔφυγα, χωρὶς νὰ κάνω κάποια ἐνημέρωσι στὸν δοῦλο τοῦ Θεοῦ, [δηλαδή, στὸν Ἀββᾶ Φιλήμονα]. Ἀφοῦ, λοιπόν, ἔμεινα ἐκεῖ ἀρκετὸ χρόνο, ἐπέστρεψα πάλι στὴν σκήτη πρὸς αὐτόν. Καὶ αὐτὸς δέ, ὅταν μὲ εἶδε γέμισε ἀπὸ πολλὴ χαρά, καὶ ἀφοῦ μὲ ἀσπάσθηκε, κάνοντας εὐχή, κάθησε, χωρὶς ὅλως διόλου νὰ μὲ ἐρωτήσῃ, ἀλλὰ παρέμεινε ἀφοσιωμένος στὴν θεωρία.

36. Κάποτε, λοιπόν, ἐπιθυμώντας νὰ τὸν δοκιμάσω παρέμεινα [κοντά του], ἐπὶ μερικὲς ἡμέρες, χωρὶς νὰ δώσω σ᾽ αὐτὸν νὰ φάγῃ ψωμί. Καὶ αὐτός, δὲν [μοῦ] ζήτησε, οὔτε εἶπε κάτι. Ἐγὼ δὲ μετὰ ἀπὸ αὐτά, ἀφοῦ τοῦ ἔβαλα μετάνοια, εἶπα σ᾽ αὐτόν. Κάνε ἀγάπη, Πάτερ, καὶ πές [μου]: ἄραγε δὲν ἐλυπήθης, διότι δὲ σοῦ ἔφερα, σύμφωνα μὲ τὴν συνήθεια, νὰ φάγῃς; Καὶ αὐτὸς ἀπαντᾶ: συγχώρεσέ [με] ἀδελφέ· ἐὰν δὲν μοῦ δώσῃς ἐπὶ εἴκοσι ἡμέρες νὰ φάγω ψωμί, ἀκόμη οὔτε [τότε] θὰ ζητήσω ἀπὸ σένα. Μέχρις ὅτου ἀντέχω ὡς πρὸς τὴν ψυχή μου, ἔτσι [ἀντέχω] καὶ ὡς πρὸς τὸ σῶμα [μου]. Τόσο πολὺ ἦταν ἀπασχολημένος μὲ τὴν θεωρία τοῦ ὄντως Ἀγαθοῦ [τοῦ Θεοῦ]. Ἔλεγε δέ, ὅτι ἀφ᾽ ὅτου ἦλθα στὴν σκήτη,

τῇ, οὐ συνεχώρησα τὸν λογισμόν μου ἐξελθεῖν ἔξω τῆς κέλλης· ἀλλ᾽ οὐδὲ ἄλλον λογισμὸν ἐν τῇ διανοίᾳ μου παραδέδεγμαι, πλὴν τοῦ φόβου τοῦ Θεοῦ, καὶ τῶν τοῦ μέλλοντος αἰῶνος δικαιωτηρίων· ἐνθυμούμενος τήν τε τοῖς ἁμαρτωλοῖς ἠπειλημένην κρίσιν, καὶ τὸ πῦρ τὸ αἰώνιον καὶ τὸ ἐξώτερον σκότος καὶ πῶς αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ διάγουσι, καὶ τῶν δικαίων· καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθά. Καὶ ἕκαστον λαμβάνοντα τὸν ἴδιον μισθόν, κατὰ τὸν ἴδιον κόπον[13]*. Τὸν μέν, ὑπὲρ τῆς τῶν πόνων αὐξήσεως· τὸν δέ, ὑπὲρ ἐλεημοσύνης, καὶ ἀγάπης ἀνυποκρίτου· τὸν δέ, ὑπὲρ ἀκτημοσύνης, καὶ τῆς τοῦ κόσμου παντὸς ἀποταγῆς. Ἕτερον ὑπὲρ ταπεινοφροσύνης, καὶ ἀκροτάτης ἡσυχίας. Ἄλλον ὑπὲρ τῆς εἰς ἄκρον ὑποταγῆς. Ἕτερον ὑπὲρ ξενιτείας. Ταῦτα πάντα διαλογιζόμενος, οὐ συγχωρῶ ἕτερον λογισμὸν ἐνεργεῖσθαι ἐν ἐμοί, οὐδὲ δύναμαι ἔτι μετὰ ἀνθρώπων εἶναι, ἢ πρὸς τούτους ἀσχολῆσαί μου τὸν νοῦν, ἵνα μὴ*

δὲν ἐπέτρεψα στὸν λογισμό μου νὰ ἐξέλθῃ ἔξω ἀπὸ τὸ κελλί [μου], ἀλλὰ οὔτε [κανέναν] ἄλλο λογισμὸ δὲν ἔχω ἀποδεχθῆ στὴν διάνοιά μου, ἐκτὸς ἀπὸ τὸν φόβο τοῦ Θεοῦ, καὶ ἀπὸ τὰ δικαστήρια τοῦ μέλλοντος αἰῶνος· ἔχοντας στὴν ἐνθύμησί μου καὶ τὴν κρίσι, ἡ ὁποία ἔχει ἀπειληθῆ γιὰ τοὺς ἁμαρτωλοὺς καὶ τὸ πῦρ τὸ αἰώνιον καὶ τὸ σκότος τὸ ἐξώτερον καὶ πῶς εὑρίσκονται οἱ ψυχὲς τῶν ἁμαρτωλῶν καὶ τῶν δικαίων· καὶ τὰ ἀγαθά, τὰ ὁποῖα ἀναμένουν τοὺς δικαίους καὶ [πῶς] κάθε ἕνας θὰ ἀπολαμβάνῃ τὸν δικό του μισθό, ἀνάλογα μὲ τὸν κόπο του. Ὁ μὲν ἕνας [θὰ λαμβάνῃ τὸν μισθὸ] γιὰ τὴν αὔξησι τῶν [ἀσκητικῶν του] κόπων, ὁ δὲ ἄλλος γιὰ τὴν ἐλεημοσύνη καὶ τὴν ἀνυπόκριτη ἀγάπη [του], καὶ ἄλλος γιὰ τὴν ἀκτημοσύνη καὶ τὴν ἀποταγὴ ὅλου τοῦ κόσμου, [δηλαδὴ τὴν ἀπάρνησι ὅλων τῶν κοσμικῶν πραγμάτων]. Ἄλλος γιὰ τὴν ταπεινοφροσύνη [του] καὶ τὴν τελειότατη ἡσυχία, [στὴν ὁποία ἐπέλεξε νὰ ζῇ], ἄλλος γιὰ τὴν τέλεια ὑπακοή [του καὶ] ἄλλος γιὰ τὴν ξενιτεία [του]. Ὅλα αὐτά, ἀφοῦ συλλογίζωμαι, δὲν ἐπιτρέπω νὰ πραγματοποιηθῆ ἄλλος λογισμὸς μέσα μου, οὔτε δύναμαι [σ᾽ αὐτὴν τὴν κατάστασι εὑρισκόμενος] νὰ εἶμαι ἀκόμη μὲ τοὺς ἀνθρώπους, ἢ νὰ ἀπασχολήσω τὸν νοῦ μου μ᾽ αὐτούς, γιὰ νὰ μὴν

τῶν θειοτέρων ἐννοιῶν χωρισθῶ. Προσετίθει τούτοις, καὶ διήγησιν ἑνός τινος μονάζοντος, καὶ ἔλεγεν· ὅτι εἰς ἀπάθειαν ἦν ἐληλακώς, καὶ ἐκ χειρὸς ἀγγέλου τὸν ἄρτον ἐδέχετο τῆς τροφῆς· καὶ διὰ τῆς ἀμελείας, τῆς τιμῆς ταύτης ἐζημιώθη. [37.] Ὅταν γὰρ ἡ ψυχὴ τὸ πυκνόν, καὶ σύντονον τοῦ νοὸς ὑποχαλάσῃ, κρατεῖ τῆς ψυχῆς ἡ νύξ. Ὅπου γὰρ ὁ Θεὸς μὴ ἐπιλάμπει, πάντα ὡς ἐν ζόφῳ διακέχυνται καὶ οὐ δύναται πρὸς τὸν Θεὸν μόνον βλέπειν, καὶ τρέμειν τοὺς λόγους αὐτοῦ. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐ Θεὸς πόρρῳ. Ἦ κρυβήσεται ἄνθρωπος ἐν κρυφῇ, κἀγὼ οὐκ ὄψομαι αὐτόν; μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος[14]*. Καὶ ἑτέρων πολλῶν ἐμέμνητο τὰ ὅμοια παθόντων. Πρὸς τούτοις δὲ καὶ τὸ Σολομῶντος παρήγαγε πτῶμα· ὅς φησι, τοσαύτην σοφίαν εἰληφώς, καὶ παρὰ πάντων δοξαζόμενος, ἦν γὰρ ὡς ἑωσφόρος τὸ πρωῒ ἀνατέλλων, τὸ φαιδρὸν τῆς σοφίας πάντας φωτίζων· καὶ διὰ*

χωρισθῶ ἀπὸ τὶς πλέον θεϊκὲς ἔννοιες. Σ᾽ αὐτά, προσέθετε καὶ τὴν διήγησι γιὰ κάποιο γνωστὸ μοναχὸ καὶ ἔλεγε· ὅτι, ἐνῶ εἶχε φθάσει στὴν ἀπάθεια καὶ δεχόταν ἀπὸ τὸ χέρι τοῦ ἀγγέλου τὸν ἄρτο γιὰ τὴν διατροφή [του], ὅμως ἕνεκα τῆς ἀμελείας, [στὴν ὁποία ἔπεσε], ἐστερήθη αὐτῆς τῆς τιμῆς.

37. Διότι, ὅταν ἡ ψυχὴ χαλαρώσῃ λίγο τὴν συγκέντρωσι καὶ τὴν ἔντασι τοῦ νοός, ἐπικρατεῖ ἡ νύκτα τῆς ψυχῆς, [δηλαδή, τὸ σκοτάδι τῶν παθῶν]. Ἐπειδή, ὅπου δὲν φωτίζει ὁ Θεός, [ἡ παρουσία Του, δηλαδή, καὶ οἱ ἐντολές Του], ὅλα εἶναι ἐξαφανισμένα, ὅπως μέσα στὸ σκοτάδι καὶ δὲν μποροῦν νὰ ἀτενίζουν μόνο πρὸς τὸν Θεὸ καὶ νὰ τρέμουν τοὺς λόγους Του. Διότι λέγει ὁ Κύριος: ἐγὼ εἶμαι Θεός, ὁ ὁποῖος [σᾶς] ἐγγίζω καὶ ὄχι Θεός, [ποὺ στέκομαι] μακριά. Ἢ [μήπως] εἶναι δυνατόν, νὰ κρυφθῇ ὁ ἄνθρωπος σὲ ἀπόκρυφο [μέρος], καὶ ἐγὼ δὲν θὰ δῶ αὐτόν· μήπως ἐγὼ δὲν γεμίζω τὸν οὐρανὸ καὶ τὴν γῆ, λέγει ὁ Κύριος; Ἀκόμη θυμόταν [ὁ Ἀββᾶς καὶ] ἄλλους πολλούς, οἱ ὁποῖοι ἔπαθαν τὰ ἴδια [μὲ τὸν προηγούμενο]. Μαζὶ δὲ μ᾽ αὐτὰ ἀνέφερε καὶ τὴν πτῶσι τοῦ Σολομῶντος, ὁ ὁποῖος, ἔλεγε, ἐνῶ ἔχει λάβει [ἀπὸ τὸν Θεὸ] τόσο μεγάλη σοφία καὶ δοξάζεται ἀπὸ ὅλους, διότι ἦταν, ὅπως [τὸ ἀστέρι] ὁ Ἑωσφόρος, ποὺ ἀνατέλλει τὸ πρωΐ, φωτίζοντας ὅλους μὲ τὴν λαμπρότητα τῆς σοφίας· καὶ [ἐνῶ εἶχε ὅλα αὐτὰ τὰ χαρίσματα] γιὰ μιὰ

μικρὰν ἡδονήν, τὴν δόξαν ἀπώλεσε[15]. Φόβος οὖν ἐστι τὸ ἀμελεῖν. [38.] Ἀδιαλείπτως δεῖ προσεύχεσθαι[16], ἵνα μὴ ἕτερος λογισμὸς ἐπελθών, χωρίσῃ ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, καὶ τοῦ ἡμετέρου νοὸς παρυφιστάμενόν τι. [39.] Ἡ γὰρ καθαρὰ καρδία, τοῦ Πνεύματος τοῦ Ἁγίου γενομένη ὅλη χωρητική, ὅλον αὐτὸν καθαρῶς ἐνοπτρίζεται τὸν Θεόν. Ταῦτα οὖν ἀκούων ἐγώ, φησί, καὶ ἔργοις αὐτοῖς κατέλαβον ὅτι ἄπρακτα ἦν ἐν αὐτῷ παντελῶς τὰ σαρκικὰ πάθη· ἐπιθυμητὴς δὲ τῶν κρειττόνων πάντως ἦν, ὡς πάντοτε ὁρᾶσθαι αὐτὸν τῷ θείῳ Πνεύματι διαμορφούμενον, καὶ στενάζοντα στεναγμοῖς ἀλαλήτοις[17] καὶ εἰς ἑαυτὸν συστρεφόμενον καὶ ἑαυτὸν σταθμίζοντα, καὶ ἀγωνιῶντα μήπως τὸ τῆς διανοίας καθαρὸν ἐπιθολώσῃ ἐπεισελθόντα· καὶ μῶμός τις λανθανόντως αὐτῷ προσγένηται. Ὁρῶν οὖν ἐγὼ ταῦτα, φησὶν ὁ συνὼν αὐτῷ ἀδελφός, καὶ ὥς περ εἰς ζῆλον διεγειρόμενος τῶν ὁμοίων κατορθωμάτων, συνεχῶς ἐπεκείμην, καὶ πυκνὰς τὰς πρὸς

μικρὴ ἡδονή, ἔχασε τὴν δόξα. Εἶναι, ἑπομένως, φόβος ἡ ἀμέλεια.

38. Πρέπει, ἀδιάλειπτα νὰ προσευχώμεθα, ὥστε νὰ μὴν ἐπέλθῃ ἄλλος λογισμός, καὶ μᾶς χωρίσῃ ἀπὸ τὸν Θεὸ καὶ [ὑπάρξῃ] κάτι, τὸ ὁποῖο νὰ συνυπάρχῃ παράλληλα στὸν νοῦ μας.

39. Διότι, ἡ καθαρὰ καρδία ἀφοῦ ὅλη γίνῃ χωρητικὴ τοῦ Ἁγίου Πνεύματος, [δηλαδή, γεμίσῃ ὅλη ἀπὸ τὸ Ἅγιο Πνεῦμα], βλέπει, ὅπως σὲ καθρέπτη καθαρὰ [μέσα της] τὸν ἴδιο τὸν Θεό. Αὐτά, λοιπόν, ἀκούοντας ἐγώ, λέγει [ὁ ἀδελφός], κατάλαβα καὶ ἀπ᾽ αὐτὰ τὰ ἴδια τὰ πράγματα, [δηλαδὴ χειροπιαστά], ὅτι ἦταν σ᾽ αὐτὸν ἐντελῶς ἀνενέργητα τὰ σαρκικὰ πάθη. Ἦταν σὲ κάθε περίπτωσι ζηλωτὴς τῶν ὑψηλοτέρων, ὥστε πάντοτε νὰ φαίνεται αὐτός, ὅτι μεταμορφώνεται ἀπὸ τὸ θεῖο Πνεῦμα καὶ ὅτι στενάζει μὲ ἀλαλήτους στεναγμοὺς καὶ συγκεντρώνεται στὸν ἑαυτό του, καὶ ὅτι ἐξετάζει τὸν ἑαυτό του, καὶ ἀγωνιᾶ, μήπως εἰσέλθῃ κρυφὰ [κάτι κακὸ] καὶ σκοτίσῃ τὴν καθαρότητα τῆς διανοίας [του] καὶ δημιουργηθῇ σ᾽ αὐτὸν χωρὶς νὰ τὸ ἀντιληφθῇ κάποιο ψεγάδι. Βλέποντας, λοιπόν, ἐγὼ αὐτά, λέγει ὁ ἀδελφός, ποὺ ἔμενε κοντά του, καὶ παρακινούμενος ὡς πρὸς τὸν ζῆλο [γιὰ τὴν ἐκτέλεσι] τὸν ἰδίων κατορθωμάτων, παρέμενα συνεχῶς κοντά του καὶ ἀπηύθυνα συ-

αὐτὸν ἐρωτήσεις ἐποιούμην· πῶς δύναμαι, λέγων, κτήσασθαι καθαρὸν τὸν νοῦν, ὥσπερ καὶ σύ; [40.] Ὁ δὲ ἔλεγεν· ὕπαγε πόνησον· κόπου γὰρ χρεία, καὶ πόνου καρδίας. Οὐ κοιμωμένοις ἡμῖν, καὶ ἀναπεπτωκόσι, τὰ σπουδῆς ἄξια, καὶ πόνου παραγίνεται· ὅπου δὲ οὐδὲ τὰ τῆς γῆς ἀγαθὰ, χωρὶς κόπου παραγίνεταί τισι. [41.] Δέον οὖν τὸν βουλόμενον εἰς πνευματικὴν προκοπὴν ἐλθεῖν, πρὸ πάντων ἀποτάξασθαι τοῖς οἰκείοις θελήμασι, καὶ κτήσασθαι διὰ παντὸς τὸ πένθος καὶ τὴν ἀκτημοσύνην· μὴ προσέχοντα ταῖς ἁμαρτίαις ἑτέρων, ἀλλὰ ταῖς ἰδίαις καὶ μόνον, καὶ ὑπὲρ τούτων κλαίειν ἡμέρας καὶ νυκτός· καὶ μὴ ἔχειν φιλίαν μετὰ ἀνθρώπου. Ψυχὴ γὰρ κατώδυνος συμφοραῖς, καὶ τῇ μνήμῃ τῶν προημαρτημένων κεντουμένη, νεκρὰ γίνεται τῷ κόσμῳ καὶ ὁ κόσμος νεκροῦται αὐτῇ· τουτέστιν ἄπρακτα γίνεται τῆς σαρκὸς τὰ πάθη, καὶ ὁ ἄνθρωπος τοῖς πάθεσιν. [42.] Ὁ γὰρ ἀποτασσόμενος τῷ κόσμῳ, καὶ συντασσόμενος τῷ Χριστῷ, καὶ

χνὲς πρὸς αὐτὸν τὶς ἐρωτήσεις, λέγοντας: πῶς μπορῶ νὰ ἀποκτήσω [κι ἐγὼ] ὅπως καὶ ἐσὺ καθαρὸ νοῦ [Ἀββᾶ];

40. Αὐτὸς δὲ ἀπαντοῦσε [ὡς ἑξῆς]: πήγαινε [καὶ] κοπίασε· διότι χρειάζεται κόπος καὶ πόνος καρδίας. Διότι, δὲν ἔρχονται [σὲ μᾶς, ἐκεῖνα, τὰ ὁποῖα εἶναι] ἄξια τῆς ἐπιμελείας καὶ τοῦ κόπου, ἐὰν ἐμεῖς κοιμώμαστε καὶ εἴμαστε ξαπλωμένοι· ἀφοῦ, οὔτε καὶ τὰ ἀγαθὰ τῆς γῆς, δὲν ἔρχονται σὲ μερικοὺς χωρὶς κόπο.

41. Ἑπομένως, πρέπει ἐκεῖνος, ὁ ὁποῖος ἐπιθυμεῖ νὰ φθάσῃ σὲ πνευματικὴ προκοπή, πρὶν ἀπὸ ὅλα νὰ ἀπαρνηθῇ τὰ θελήματά του καὶ νὰ ἀποκτήσῃ παντοτινὰ τὸ πένθος καὶ τὴν ἀκτημοσύνη, χωρὶς νὰ δίδῃ προσοχὴ στὶς ἁμαρτίες τῶν ἄλλων, ἀλλὰ μόνον στὶς δικές του καὶ νὰ κλαίῃ γι᾽ αὐτὲς κάθε ἡμέρα καὶ νύκτα· ἐπὶ πλέον, νὰ μὴν ἔχῃ φιλία μὲ [κανέναν] ἄνθρωπο. Διότι [μιὰ] ψυχή, [ποὺ εἶναι] γεμάτη ἀπὸ ὀδύνη, ἕνεκα συμφορῶν καὶ ἡ ὁποία τύπτεται ἀπὸ ἐκεῖνα, στὰ ὁποῖα ἔχει ἁμαρτήσει προηγουμένως, γίνεται νεκρὰ ὡς πρὸς τὸν κόσμο, καὶ ὁ κόσμος νεκρώνεται γι᾽ αὐτήν· δηλαδὴ τὰ πάθη τῆς σαρκὸς γίνονται ἀνενέργητα καὶ ὁ ἄνθρωπος [νεκρὸς] γιὰ τὰ πάθη.

42. Διότι ἐκεῖνος, ποὺ ἀποτάσσεται τὸν κόσμο καὶ συντάσσεται μὲ τὸν Χριστὸ

τῇ ἡσυχίᾳ σχολάζων, ἀγαπᾷ τὸν Θεόν, καὶ φυλάττει τὴν εἰκόνα, καὶ τὸ ὁμοίωμα πλουτεῖ. Ἄνωθεν γὰρ δέχεται παρ᾽ αὐτοῦ τὴν χορηγίαν τοῦ Πνεύματος καὶ γίνεται οἶκος Θεοῦ, καὶ οὐ δαιμόνων· ἔργα δίκαια ἐπίσταται τῷ Θεῷ. Καὶ ψυχὴ κεκαθαρμένη τοῦ βίου, καὶ ἐλευθέρα τῶν τῆς σαρκὸς μολυσμάτων, μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα[18]*, τὸν τῆς δικαιοσύνης ἀναδήσεται στέφανον, ὑπερλάμπουσα τῷ κάλλει τῆς ἀρετῆς.* ***[43.]*** *Ἐν ᾧ γὰρ ἐν ἀρχῇ τῆς ἀποταγῆς οὐ γίνεται πένθος ἐν καρδίᾳ, οὔτε δάκρυα πνευματικά, οὔτε μνήμη τῆς ἀπεράντου κολάσεως, οὔτε ἡσυχία ἀληθής, οὔτε ἐπίμονος προσευχή, οὔτε ψαλμῳδία, καὶ μελέτη τῶν θείων Γραφῶν· καὶ οὐκ ἐν ἔθει γέγονε τούτων, ἵνα τῷ ἀδιαλείπτῳ τῆς καρτερίας ἀναγκάζηται, καὶ μὴ βουλομένου αὐτοῦ, ὑπὸ τοῦ νοὸς ταῦτα πράττειν· καὶ [addendum: οὐκ] ἐνακμάζει ὁ φόβος τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ αὐτοῦ· ἀκμὴν τῇ φιλίᾳ τοῦ κόσμου ὁ τοιοῦτος ἐπαναπαύεται, καὶ οὐ δύναται κτήσα-*

καὶ ἐντρυφᾶ στὴν ἡσυχία, ἀγαπᾶ τὸν Θεὸ καὶ φυλάσσει τὴν εἰκόνα [τοῦ Θεοῦ, τὴν ὁποία ἔλαβε καὶ] ἐπιπλέον πλουτίζει τὸ ὁμοίωμα, [δηλαδή, προχωρεῖ μὲ τὶς ἀρετὲς στὸ καθ᾽ ὁμοίωσιν]. Διότι, δέχεται ἄνωθεν ἀπ᾽ Αὐτὸν [τὸν ἴδιο τὸν Θεό], τὴν δωρεὰ τοῦ [Ἁγίου] Πνεύματος καὶ καθίσταται οἶκος Θεοῦ καὶ ὄχι δαιμόνων· [καὶ] γνωρίζει πῶς νὰ πράξῃ ἔργα δίκαια γιὰ χάρι τοῦ Θεοῦ. Καὶ [μιὰ] ψυχή, ποὺ ἔχει καθαριστῆ ἀπὸ [τοὺς ῥύπους] τῆς ζωῆς καὶ [εἶναι] ἐλεύθερη ἀπὸ τοὺς μολυσμοὺς τῆς σαρκός, χωρὶς νὰ ἔχῃ [καμία] κηλῖδα ἢ ρυτίδα θὰ στεφανωθῇ μὲ τὸν στέφανο τῆς δικαιοσύνης, ἀφοῦ ἀπαστράπτει ἀπὸ τὸ κάλλος τῆς ἀρετῆς.

43. Ἂν ἴσως βέβαια καὶ στὴν ἀρχὴ τῆς ἀποταγῆς [ἀπὸ τὸν κόσμο], δὲν γίνεται πένθος στὴν καρδία, οὔτε πνευματικὰ δάκρυα οὔτε μνήμη τῆς ἀτελευτήτου κολάσεως, οὔτε ἀληθινὴ ἡσυχία, οὔτε ἐπίμονη προσευχή, οὔτε ψαλμωδία, καὶ μελέτη τῶν θείων Γραφῶν· καὶ οὔτε ἔχει ἀποκτήσει τὴν συνήθεια αὐτῶν, ὥστε ἕνεκα τοῦ ἀκαταπαύστου [ἀγῶνος] τῆς ὑπομονῆς νὰ ἀναγκάζεται ἀπὸ τὸν νοῦ [του] νὰ ἐκτελῇ αὐτά, ἔστω καὶ ἂν αὐτὸς δὲν θέλῃ, καὶ [ἂν] δὲν εὐδοκιμῇ ὁ φόβος τοῦ Θεοῦ στὴν διάνοιά του, [τότε] αὐτὸς ὁ [Μοναχὸς] ἐπαναπαύεται ἀκόμη στὴν φιλία τοῦ κόσμου, καὶ δὲν μπορεῖ νὰ ἀποκτήσῃ

σθαι καθαρὸν τὸν νοῦν ἐν τῇ προσευχῇ. [44.] Ἡ γὰρ εὐσέβεια, καὶ ὁ φόβος τοῦ Θεοῦ, καθαίρουσι τὴν ψυχὴν ἀπὸ τῶν παθῶν, καὶ τὸν νοῦν ἐλεύθερον παρασκευάζει γενέσθαι, καὶ πρὸς φυσικὴν θεωρίαν ἄγει, καὶ θεολογίας ἐφάπτεσθαι ποιεῖ, ἣν ἐν σχήματι μακαριότητος ἐκδέχεται, καὶ τοῖς μετιοῦσιν αὐτὴν ἐντεῦθεν τοὺς ἀῤῥαβῶνας παρέχει, καὶ ἀσάλευτον αὐτὴν φυλάττει. [45.] Πάσῃ οὖν δυνάμει τῆς πρακτικῆς ἐπιμελησώμεθα ἐργασίας, δι' ἧς πρὸς τὴν εὐσέβειαν ἀναγόμεθα· ἥ ἐστιν ἡ κατὰ διάνοιαν καθαρότης· ἧς ὁ καρπός, φυσική, καὶ θεολογικὴ θεωρία. Πρᾶξις γὰρ ἐπίβασις θεωρίας, ὡς ὁ διαπρύσιος καὶ θεολογικώτατος [addendum: φησὶ][β'] νοῦς. Ἐὰν τοίνυν τῆς πράξεως ἀμελήσωμεν, πάσης ἔρημοι φιλοσοφίας ἐσόμεθα. [46.] Κἂν γάρ τις πρὸς τὸ ἀκρότατον ἐλάσῃ τῆς ἀρετῆς, δεῖται τοῦ τῆς ἀσκήσεως πόνου, χαλινοῦντος τὰς τοῦ σώματος ἀτάκτους ὁρμάς, καὶ τὴν τῶν λογισμῶν ἐπιτήρησιν φυλάξαι. Οὕτω γὰρ ἂν μόλις ἐπι-

καθαρὸ νοῦ στὴν προσευχή.

44. Διότι, ἡ εὐσέβεια καὶ ὁ φόβος τοῦ Θεοῦ, καθαρίζουν τὴν ψυχὴ ἀπὸ τὰ πάθη, καὶ ἑτοιμάζουν τὸν νοῦ, ὥστε νὰ γίνῃ ἐλεύθερος καὶ τὸν ὁδηγοῦν πρὸς τὴν φυσικὴ θεωρία[1] καὶ τὸν κάνουν νὰ ἐγγίζῃ τὴν θεολογία, τὴν ὁποία δέχεται μὲ τὴν μορφὴ τῆς μακαριότητος, καὶ [ἡ ὁποία] παρέχει ἀπὸ ἐδῶ [στὴν παροῦσα ζωὴ] τοὺς ἀρραβῶνες [τῆς μελλούσης] σ' ἐκείνους, οἱ ὁποῖοι μετέχουν σ' αὐτήν, καὶ [ἀκόμη ἡ θεολογία] φυλάττει σταθερὰ αὐτήν, [δηλαδή, τὴν ψυχή].

45. Ἑπομένως, μὲ ὅλη [μας] τὴν δύναμι, ἂς ἐπιμεληθοῦμε τὴν πρακτικὴ ἐργασία, διὰ τῆς ὁποίας ὑψωνόμεθα στὴν εὐσέβεια, ἡ ὁποία εἶναι ἡ καθαρότης ὡς πρὸς τὴν διάνοια· τῆς ὁποίας ὁ καρπὸς [εἶναι] ἡ φυσικὴ καὶ ἡ θεολογικὴ θεωρία[2]. Διότι, ὅπως λέγει ὁ περίφημος καὶ θεολογικώτατος νοῦς [ὁ Ἅγ. Γρηγόριος ὁ Θεολόγος], ἡ πρᾶξι [εἶναι] ἡ βάσι τῆς θεωρίας. Ἐάν, λοιπόν, δείξωμε ἀμέλεια γιὰ τὴν πρᾶξι, θὰ γίνωμε ἔρημοι [κενοὶ] ἀπὸ κάθε φιλοσοφία [κατὰ Χριστόν].

46. Διότι, καὶ ἂν ἀκόμη, κάποιος προχωρήσῃ πρὸς τὸ ἀκρότατο [σημεῖο] τῆς ἀρετῆς, ἔχει ἀνάγκη τοῦ κόπου τῆς ἀσκήσεως, ὥστε, ἐνῶ χαλιναγωγεῖ τὶς ἄτακτες ὁρμὲς τοῦ σώματος, νὰ φυλάξῃ καὶ τὴν ἐπιτήρησι τῶν λογισμῶν. Διότι, μόλις, ἔτσι θὰ μπορέσωμε νὰ ἐπιτύχωμε

τύχωμεν τῆς τοῦ Χριστοῦ ἐνοικήσεως. [47.] Ὅσῳ γὰρ πλεονάζει ἐν ἡμῖν ἡ δικαιοσύνη, τοσοῦτον ἡ πνευματικὴ ἀνδρεία ἐπιγίνεται· καὶ τελειωθεὶς ὁ νοῦς, πρὸς τὸν Θεὸν ὅλος ἀνακιρνᾶται καὶ τῷ θείῳ φωτὶ περιλάμπεται, καὶ ἀποκαλύπτεται τῶν μυστηρίων τὰ ἀπόρρητα. Καὶ τότε μανθάνει ἀληθῶς, ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ σύνεσις, τοῦ γνῶναι πάντα· ποῦ ἐστι μακροβίωσις, καὶ ζωή· ποῦ φῶς ὀφθαλμῶν, καὶ εἰρήνη[19]. Ἕως ὅτε γὰρ ἐν τῇ τῶν παθῶν μάχῃ ἀσχολεῖται, οὔπω τούτων ἐν ἀπολαύσει γενέσθαι ἕξει καιρόν. Αἱ γὰρ ἀρεταὶ καὶ κακίαι, τυφλὸν ἀπεργάζονται τὸν νοῦν. Αἱ μέν, ἵνα μὴ ἴδῃ τὰς ἀρετάς· αἱ δέ, ἵνα μὴ βλέπῃ τὰς κακίας. [48.] Ὅταν δὲ τοῦ πολέμου ἀνακοπὴν λάβῃ, καὶ πνευματικῶν ἀξιωθῇ χαρισμάτων, τότε ὅλος φωτοειδὴς γίνεται, πυκνῶς ἐνεργούμενος παρὰ τῆς χάριτος· καὶ ἀκλινὴς ἕστηκε πρὸς τὴν τῶν πνευματικῶν θεωρίαν. Ὁ τοιοῦτος, οὐκ ἔστι τοῖς ἐνταῦθα προσδεδεμένος, ἀλλὰ μεταβέβηκεν ἐκ

τὴν [ἐνεργὸ] ἐνοίκησι τοῦ Χριστοῦ [ἐντός μας].

47. Ὅσο βέβαια πλεονάζει σ᾽ ἐμᾶς ἡ γενικὴ ἀρετή, τόσο ἐπέρχεται ἡ πνευματικὴ ἀνδρεία· καὶ ἀφοῦ ἀποκτήσῃ ὁ νοῦς τὴν τελειότητα, ἀνακιρνᾶται [ἑνώνεται ἀπολύτως] ὁλόκληρος μὲ τὸν Θεὸ καὶ καταλάμπεται ἀπὸ τὸ θεῖο φῶς καὶ ἀποκαλύπτονται [σ᾽ αὐτὸν] τὰ ἀπόρρητα [τὰ βάθη τῶν θεϊκῶν] μυστηρίων. Καὶ τότε μαθαίνει ἀληθινά, [ἀφοῦ τοῦ τὰ ἀποκαλύπτει ὁ Θεός], ποῦ εἶναι ἡ φρόνησι, ποῦ εἶναι ἡ ἰσχύς, ποῦ [εἶναι] σύνεσι, ὥστε νὰ γνωρίσῃ τὰ πάντα· ποῦ εἶναι ἡ μακροβιότητα καὶ ἡ ζωή, ποῦ [εἶναι τὸ ἀληθινὸ] φῶς τῶν ὀφθαλμῶν καὶ ἡ [ὄντως] εἰρήνη. Διότι, ἕως ὅτου [ὁ νοῦς] ἀσχολῆται μὲ τὸν πόλεμο τῶν παθῶν, δὲν ἔχει συνήθως ἀκόμη καιρὸ νὰ ἀπολαύσῃ αὐτά. Καθ᾽ ὅτι, οἱ ἀρετὲς καὶ οἱ κακίες ἀπεργάζονται τὸν νοῦ τυφλό. Οἱ μὲν [κακίες τὸν κάνουν τυφλὸ] γιὰ νὰ μὴν [θέλῃ] νὰ ἰδῇ τὶς ἀρετές, οἱ δὲ [ἀρετές], γιὰ νὰ μὴν βλέπῃ τὶς κακίες.

48. Ὅταν, ὅμως [ὁ νοῦς] θὰ ἀποκτήσῃ τὴν παῦσι τοῦ πολέμου [τῶν παθῶν] καὶ θὰ ἀξιωθῇ πνευματικῶν χαρισμάτων, τότε γίνεται ὁλόκληρος φωτοειδής, ἐπειδὴ δέχεται τὴν ἐνέργεια[3] συνεχῶς ἀπὸ τὴν [θεία] Χάρι· καὶ στέκεται ἀκλόνητος στὴν θεωρία τῶν πνευματικῶν. Αὐτὸς [ὁ ἀγωνιστὴς μοναχὸς] δὲν εἶναι προσκολλημένος μὲ τὰ ἐδῶ [τὰ πράγματα τοῦ κόσμου τούτου], ἀλλὰ ἔχει ἤδη μεταβῇ ἀπὸ

τοῦ θανάτου εἰς τὴν ζωήν[20]*.* ***[49.]*** *Δεῖ οὖν τὸν προσιέμενον τὸν ζηλωτὴν βίον, καὶ προσερχόμενον τῷ Θεῷ, ἁγνὴν ἔχειν καρδίαν, καὶ στόμα καθαρόν· ὅπως ὁ καθαρὸς ὁ λόγος ἐκ τοῦ στόματος προερχόμενος, ἀξίως δυνηθῇ ἀνυμνῆσαι τὸν Θεόν. Ἡ γὰρ κεκολλημένη ψυχὴ τῷ Θεῷ, διηνεκῶς πρὸς αὐτὸν διαλέγεται. Θελήσωμεν οὖν, ἀδελφοί, εἰς ἐκείνην φθάσαι τὴν ἀκρώρειαν τῶν ἀρετῶν καὶ μὴ μείνωμεν ἐν τῇ γῇ προσηλωμένοι τοῖς πάθεσιν.* ***[50.]*** *Ὁ γὰρ ἀγωνιζόμενος, καὶ φθάσας προσεγγίσαι Θεῷ, καὶ ἐν μεθέξει τοῦ ἁγίου φωτὸς γενέσθαι καὶ τῷ πόθῳ αὐτοῦ τρωθῆναι, κατατρυφᾷ τοῦ Κυρίου πνευματικήν τινα, καὶ ἀκατάληπτον εὐφροσύνην· καθά φησιν ὁ θεῖος ψαλμός· κατατρύφησον τοῦ Κυρίου, καὶ δῴη σοι τὰ αἰτήματα τῆς καρδίας σου· καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρῖμά σου ὡς μεσημβρίαν*[21]*. Ποῖος γὰρ πόθος ψυχῆς οὕτω δριμύς, καὶ ἀφόρητος, ὡς ὁ ἀπὸ Θεοῦ ἐγγινόμενος τῇ ψυχῇ, τῇ ἀπὸ πάσης κακίας κεκαθαρ-*

τὸν θάνατο στὴν ζωή.

49. Πρέπει, ἑπομένως, ἐκεῖνος, ὁ ὁποῖος δέχεται τὴν ζωὴ [τοῦ θείου] ζήλου καὶ προσέρχεται στὸ Θεό, νὰ ἔχῃ ἁγνὴ καρδία καὶ καθαρὸ στόμα· ὥστε, ὁ καθαρὸς λόγος, ὁ ὁποῖος ἐξέρχεται ἀπὸ τὸ στόμα, νὰ μπορέσῃ ἀξίως νὰ ἀνυμνήσῃ τὸν Θεό. Διότι ἡ ψυχή, ποὺ εἶναι προσκολλημένη στὸν Θεό, ἀδιάλειπτα συνομιλεῖ μ᾽ Αὐτόν. Ἂς ἐπιθυμήσωμε, λοιπόν, αδελφοὶ νὰ φθάσωμε σ᾽ ἐκείνη τὴν κορυφὴ τῶν ἀρετῶν, [ὥστε νὰ συνομιλοῦμε ἀδιάλειπτα μὲ τὸν Θεὸ] καὶ νὰ μὴν μείνωμε [κάτω] στὴν γῆ, προσκολλημένοι στὰ πάθη.

50. Διότι, ἐκεῖνος ποὺ ἀγωνίζεται καὶ κατόρθωσε νὰ ἐγγίσῃ [νὰ πλησιάσῃ] τὸν Θεὸ καὶ νὰ γίνῃ μέτοχος τοῦ Ἁγίου [τοῦ Ἀκτίστου] Φωτός, καὶ νὰ πληγωθῇ ἀπὸ τὸν πόθο γι᾽ Αὐτόν, κατατρυφᾷ τὸν Κύριο μὲ κάποια πνευματικὴ καὶ ἀκατάληπτη εὐφροσύνη· ὅπως λέγει καὶ ὁ θεῖος ψαλμός: κατατρύφησον τοῦ Κυρίου σου [ἔχε ὡς τρυφή σου τὸν Κύριο] καὶ θὰ σοῦ ἐκπληρώσῃ τὰ αἰτήματα τῆς καρδίας σου καὶ θὰ προβάλλῃ σὰν φῶς τὴν δικαιοσύνη σου [τὴν ἀρετή σου] καὶ τὴν κρίσι [Του] γιὰ σένα σὰν [τὴν λάμψι] τοῦ μεσημεριοῦ. Διότι, ποιὸς πόθος ψυχῆς [εἶναι] τόσο σφοδρὸς καὶ ἀφόρητος, ὅσο, ἐκεῖνος, ὁ ὁποῖος ἐπέρχεται ἀπὸ τὸν Θεὸ στὴν ψυχή, ποὺ ἔχει καθαρισθῇ ἀπὸ κάθε κακία

μένη; καὶ ἀπὸ ἀληθινῆς διαθέσεως καρδίας λεγούσῃ· τετρωμένη ἀγάπης ἐγώ εἰμι[22]; [51.] Ἀῤῥητοι παντελῶς, καὶ ἀνεκδιήγητοι τοῦ θείου κάλλους αἱ ἀστραπαί· οὐ παρίστησι λόγος, οὐ δέχεται ἀκοή. Κἂν ἑωσφόρου αὐγὰς εἴπῃς, κἂν σελήνης λαμπρότητα, κἂν ἡλίου φῶς, πάντα ἄτιμα πρὸς εἰκασίαν τῆς δόξης ἐκείνης καὶ πλέον ἀπολειπόμενα πρὸς τὴν τοῦ ἀληθινοῦ φωτὸς σύγκρισιν, ἢ καθόσον βαθεῖα νύξ, ἢ στυγνὴ σκοτομήνη, μεσημβρίας καθαρωτάτης. Οὕτω γὰρ καὶ Βασίλειος ὁ ἐν διδασκάλοις θεσπέσιος, τῇ πείρᾳ παραλαβών, καὶ διδαχθεὶς παρέδωκεν ἡμῖν. Ταῦτα μὲν οὖν, καὶ πλείονα τούτων ὁ συνὼν αὐτῷ ἀδελφὸς διηγήσατο. [52.] Ἀλλὰ μὴν καὶ τοῦτο τίς αὐτοῦ μὴ θαυμάσειε, τῆς ταπεινοφροσύνης αὐτοῦ ἔχον ἀπόδειξιν μεγάλην· ἐκ πολλοῦ γάρ, πρεσβυτερίου ἀξιωθείς, καὶ τῶν οὐρανίων ἁψάμενος κατὰ πολιτείαν καὶ γνῶσιν, οὕτω τῶν θείων Ἱερουργιῶν ὑπέφευγε τὸν ὄγκον, ὥστε ἐν πλείστοις αὐτοῦ ἀγωνισμάτων χρόνοις,

καὶ ἡ ὁποία λέγει μὲ ἀληθινὴ διάθεσι καρδίας: ἐγὼ εἶμαι τετρωμένη ἀπὸ ἀγάπη;

51. Ἐντελῶς ἀνέκφραστες καὶ ἀπερίγραπτες εἶναι οἱ ἀστραπὲς τοῦ θείου κάλλους· δὲν δύναται νὰ τὶς παραστήσῃ λόγος, δὲν δύναται νὰ [τὶς] δεχθῇ ἡ ἀκοή· καὶ ἂν πῇς [ἀκόμη, ὅτι μοιάζουν] μὲ τὰ ἀπαυγάσματα τοῦ Ἑωσφόρου [τοῦ λαμπροῦ πρωϊνοῦ ἄστρου τῆς Ἀνατολῆς], καὶ ἂν [πῇς ὅτι μοιάζουν, οἱ ἀστραπὲς τοῦ θείου κάλλους] μὲ τὴν λαμπρότητα τῆς σελήνης, καὶ μὲ τοῦ ἡλίου τὸ φῶς, ὅλα [εἶναι] ἀνάξια γιὰ παρομοίωσι ἐκείνης τῆς δόξας καὶ πολὺ ὑπολείπονται στὴν σύγκρισι σὲ σχέσι μὲ τὸ Ἀληθινὸ Φῶς, ἢ [ὅσο ἀπέχει] ἡ βαθειὰ νύκτα, ἢ ἡ σκληρὴ ἀσέληνη βραδιὰ ἀπὸ τὸ λαμπρὸ μεσημέρι, [ποὺ λάμπει ὁ ἥλιος]. Διότι καὶ ὁ [Μέγας] Βασίλειος ὁ θαυμαστός μεταξὺ τῶν διδασκάλων ἔτσι μᾶς παρέδωσε, [αὐτὰ] ποὺ παρέλαβε καὶ διδάχθηκε ἀπὸ τὴν πεῖρα. Αὐτά, λοιπόν, καὶ περισσότερα ἀπ᾽ αὐτά, διηγήθηκε ὁ ἀδελφὸς ποὺ ἔμενε κοντὰ σ᾽ αὐτὸν [τὸν Ἀββᾶ Φιλήμονα].


52. Ἀλλά, ὅμως ποιὸς δὲν θὰ θαυμάσῃ καὶ αὐτὸ [ποὺ θὰ διηγηθῶ], τὸ ὁποῖο περιέχει μεγάλη ἀπόδειξι τῆς ταπεινοφροσύνης του: διότι, ἐνῶ ἀξιώθηκε ἀπὸ πολὺ χρόνο [πρὶν] τὴν Ἱερωσύνη καὶ [ἀξιώθηκε] νὰ ἐγγίσῃ τὶς οὐράνιες [καταστάσεις] καὶ μὲ τὴν πολιτεία [του] καὶ μὲ τὴν γνῶσι [του – μὲ τὴν ἐμπειρία του, δηλαδή,] ἀπέφευγε τόσο [πολὺ] τὸ βάρος τῶν θείων ἱερουργιῶν, ὥστε στὰ πάρα πολλὰ χρόνια τῶν [ἀσκητικῶν] ἀγώνων του

μὴ καταδέξασθαι σχεδὸν τῇ ἱερᾷ προσεγγίσαι τραπέζῃ. Ἀλλὰ καὶ τὴν τῶν θείων μυστηρίων μετάληψιν· τοσαύτῃ ἀκριβείᾳ συζῶν, ὁπηνίκα τὴν πρὸς ἀνθρώπους συντυχίαν ἐποιεῖτο, οὐ μετελάμβανε· καί περ μηδενὸς γηΐνου λεγομένου παρ' αὐτοῦ, ἀλλ' ἐπ' ὠφελείᾳ τῶν αἰτούντων τὴν συντυχίαν ποιούμενος. Μέλλων δὲ τῶν θείων μετελαμβάνειν μυστηρίων, εὐχαῖς, καὶ ψαλμῳδίαις, καὶ ἐξομολογήσεσι τὸν Θεὸν ἐδυσώπει. Τὴν γὰρ τοῦ Ἱερέως ἔφριττε φωνήν, ἐν ταύτῃ διὰ τοῦτο προσφωνοῦντος καὶ λέγοντος· τὰ Ἅγια τοῖς Ἁγίοις. Ἔλεγε γάρ, πᾶσαν τὴν Ἐκκλησίαν πληροῦσθαι ἁγίων Ἀγγέλων, καὶ αὐτὸν δὲ τὸν Βασιλέα τῶν δυνάμεων μυστικῶς ἱερουργούμενον, καὶ ἐν ταῖς ἡμετέραις καρδίαις μεταποιούμενον εἰς σῶμα καὶ αἷμα. Διὸ καὶ ἔλεγε· χρὴ ἡμᾶς ἁγνῶς καὶ καθαρῶς, καὶ οἱονεὶ ἔξω σαρκὸς γινομένους, χωρὶς παντὸς δισταγμοῦ, καὶ ἐνδοιασμοῦ, κατατολμᾶν τῆς ἁγίας κοινωνίας τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων,

δὲν δέχθηκε σχεδὸν [οὔτε] νὰ προσεγγίσῃ τὴν Ἁγία Τράπεζα. Ἀλλὰ καὶ ὅσον ἀφορᾶ τὴν μετάληψι τῶν θείων μυστηρίων, ἂν καὶ ζοῦσε μὲ τόση ἀκρίβεια, ὁπόταν ἐσυναντᾶτο μὲ ἀνθρώπους, δὲν μετελάμβανε, ἂν καὶ δὲν ἐλέγετο τίποτε γήινο ἀπ' αὐτόν, παρὰ μόνο πραγματοποιοῦσε τὴν συνάντησι γιὰ τὴν ὠφέλεια ἐκείνων, ποὺ ζητοῦσαν [αὐτήν]. Ὅταν δὲ ἐπρόκειτο νὰ μεταλαμβάνῃ τῶν θείων μυστηρίων, ἱκέτευε τὸν Θεὸ μὲ εὐχὲς καὶ ψαλμωδίες καὶ ἐξομολογήσεις, διότι ἔφριττε μὲ τὴν φωνὴ τοῦ ἱερέως κατ' αὐτὴν [τὴν θεία μετάληψι], ὅταν προσφωνοῦσε γιὰ αὐτὸ [γιὰ τὴν προσέλευσι στὰ Ἅγια μυστήρια] καὶ ἔλεγε: Τὰ Ἅγια στοὺς Ἁγίους. Διότι ἔλεγε, ὅτι ὅλη ἡ Ἐκκλησία εἶναι γεμάτη ἀπὸ Ἁγίους Ἀγγέλους, καί, [ὅτι εὑρίσκεται ἐκεῖ] ὁ ἴδιος ὁ Βασιλεὺς τῶν δυνάμεων, ὁ ὁποῖος ἱερουργεῖται μυστικὰ καὶ μεταποιεῖται μέσα στὶς καρδίες μας, σὲ σῶμα καὶ αἷμα. [Καὶ] γι' αὐτὸ ἔλεγε: Πρέπει ἐμεῖς μὲ ἁγνότητα καὶ καθαρότητα καὶ τρόπον τινὰ νὰ ἐξερχώμεθα ἀπὸ τὴν σάρκα [μας καὶ] χωρὶς κανέναν δισταγμὸ καὶ ἐνδοιασμό, νὰ τολμοῦμε [νὰ λαμβάνωμε] τὴν Ἁγία Κοινωνία τῶν ἀχράντων μυστηρίων τοῦ Χριστοῦ,

ὅπως τοῦ ἐξ αὐτῶν φωτισμοῦ γενώμεθα μέτοχοι. Πολλοὶ γὰρ τῶν Ἁγίων Πατέρων, ἐθεώρουν τοὺς Ἀγγέλους παραφυλάττοντας αὐτούς· διὸ καὶ τῇ σιωπῇ ἐφύλαττον ἑαυτούς, πρός τινα μὴ διαλεγόμενοι. Ἔλεγε δὲ καὶ τοῦτο· ὅτι εἰ ἐγένετο αὐτοῦ χρεία, δι᾽ ἑαυτοῦ πωλῆσαι τὸ ἴδιον ἐργόχειρον, ἵνα μὴ ἐκ τοῦ λέγειν καὶ ἀνταποκρίνεσθαι, ψεῦδός τι ἢ ὅρκος ἢ περιττολογία ἢ ἕτερον εἶδος ἁμαρτίας ἀκολουθήσῃ, τὸ δοκεῖν εἶναι σαλὸς ὑποκρινόμενος, ἵστατο. Καὶ πᾶς ὁ βουλόμενος ἀγοράσαι, ἐλάμβανε παρ᾽ αὐτοῦ, καὶ παρεῖχεν ὃ ἠβούλετο. Εἰργάζετο δὲ τὸ καλούμενον μαλάκιον· ἐδέχετο δὲ τὸ διδόμενον εὐχαρίστως, μηδὲν τὸ παράπαν λαλῶν, ὁ ὄντως φιλόσοφος ἀνήρ.

ὥστε νὰ γινώμεθα μέτοχοι τοῦ φωτισμοῦ, [ποὺ ἐκπέμπεται] ἀπ᾽ αὐτά. Διότι, πολλοὶ ἀπὸ τοὺς Ἁγίους Πατέρες, ἔβλεπαν τοὺς Ἀγγέλους νὰ προφυλάσσουν αὐτούς, [ὅταν εἶχαν κοινωνήσει τῶν Ἀχράντων μυστηρίων], γι᾽ αὐτὸ καὶ ἐφρουροῦσαν μὲ τὴν σιωπὴ τοὺς ἑαυτούς [τους] χωρὶς νὰ συνομιλοῦν μὲ κανέναν. Ἔλεγε δὲ καὶ τοῦτο: ὅτι, ἐὰν συνέβαινε σ᾽ αὐτὸν ἀνάγκη, νὰ πωλήσῃ ὁ ἴδιος [μόνος του] τὸ ἐργόχειρό του, γιὰ νὰ μὴν ἐπακολουθήσῃ ἀπὸ τὴν ὁμιλία καὶ τὴν ἀπάντησι [κατὰ τὴν διαπραγμάτευσι καὶ τὴν πώλησι], κάποιο ψέμα ἢ ὅρκος ἢ περιττολογία ἢ [κάποιο] ἄλλο εἶδος ἁμαρτίας, ἐστέκετο, ὑποκρινόμενος, ὅτι εἶναι κατὰ τὸ φαινόμενο σαλός. Καὶ κάθε ἕνας, ποὺ ἤθελε νὰ ἀγοράσῃ [κάποιο ἀπὸ τὰ ἐργόχειρά του], ἔπαιρνε ἀπ᾽ αὐτὸν καὶ ὅ,τι ἤθελε τοῦ ἔδινε. Ἐργοχειροῦσε δὲ ἐκεῖνο, ποὺ ὀνομάζεται μαλάκιον [καλάθι πλεκτὸ ἀπὸ σχοινί]· ἐδέχετο δὲ εὐχαρίστως, ἐκεῖνο, τὸ ὁποῖο τοῦ ἔδιναν, χωρὶς νὰ λέγῃ ἀπολύτως τίποτε, ὁ ἀληθινὰ [ἐν Χριστῷ] φιλόσοφος ἄνθρωπος.



ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α′ *Ἴσως λείπει εἶναι.*
β′ *Ἴσως λείπει φησί.*

ΠΑΡΑΠΟΜΠΕΣ ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

1 Πρβλ. Ῥωμ. 13, 14.
2 Κολασσ. 3, 5.
3 Πρβλ. Α′ Θεσσ. 5, 17.
4 Α′ Κορ. 9, 27.
5 Α′ Θεσσ. 5, 17.
6 Πρβλ. Παροιμ. 6, 22.
7 Πρβλ. Παροιμ. 4, 23.
8 Κολασσ. 3, 5.
9 Ψαλμ. 34, 1.
10 Πρβλ. Πράξ. 20, 32.
11 Α′ Θεσσ. 5, 17.
12 Ἰὼβ 41, 5,
Ἰὼβ 41, 11-14,
Ἰὼβ 41, 16,
Ἰὼβ 41, 23-24,
Ἰὼβ 41, 26.
13 Α′ Κορ. 3, 8.
14 Ἱερεμ. 23, 23-24.
15 Γ′ Βασ. 11, 1-11.
16 Α′ Θεσσ. 5, 17.
17 Πρβλ. Ῥωμ. 8, 26.
18 Πρβλ. Ἐφεσ. 5, 27.
19 Βαρούχ 3, 14.
20 Ἰω. 5, 24.
21 Ψαλμ. 36, 4,
Ψαλμ. 36, 6.
22 Ἆσμ. 5, 8.

ΣΧΟΛΙΑ

1 Μετὰ τὴν κάθαρσι τῆς ψυχῆς ἀπὸ τὴν ἀκαθαρσία τῶν παθῶν, ὁ νοῦς τοῦ πιστοῦ ἀπελευθερώνεται ἀπὸ τὸ νοερὸ σκοτάδι τῆς ἁμαρτίας καὶ ὁδηγεῖται στὴ φυσικὴ θεωρία. Ὡς φυσικὴ θεωρία, νοεῖται ἡ νοερὴ θέα τῶν «λόγων τῶν ὄντων». Οἱ «λόγοι τῶν ὄντων» παραπέμπουν τὸν φωτεινὸ νοῦ τοῦ πιστοῦ στὴν πρωτογενῆ αἰτία τῆς ὑπάρξεώς τους, ἀλλά καὶ στὸν σκοπό, γιὰ τὸν ὁποῖο αὐτὰ ὑπάρχουν. Γνωρίζοντας ἐμπειρικὰ ὁ πιστὸς τοὺς λόγους τῶν διαφόρων ὄντων, δὲν σφάλλει κατὰ τὴν χρῆσι τῶν ὄντων αὐτῶν, ἀλλὰ δέχεται αὐτά, εὐχαριστιακά, εὐχαριστώντας καὶ δοξάζοντας τὸν Θεό, στὸν ὁποῖο καὶ παραπέμπουν, ὡς ἀποτελέσματα τῶν ἀκτίστων ἐνεργειῶν Του.

2 Θεμελιώδης προϋπόθεσι γιὰ τὴν θεολογικὴ θεωρία, δηλαδή, γιὰ τὴν θέα τοῦ Θεοῦ, εἶναι ἡ καθαρότητα τοῦ νοός. Ἡ ἁγιοπνευματικὴ αὐτὴ κατάστασι τῆς καθαρότητας τοῦ νοὸς προϋποθέτει τὴν ἀσκητικὴ πρᾶξι, ἡ ὁποῖα νοεῖται οὐσιαστικὰ ὡς τήρησι ὅλων τῶν ἐντολῶν τοῦ Θεοῦ. Συμπυκνώνοντας ὁ Ἅγιος Γρηγόριος ὁ Θεολόγος τὴν ἁγιοπνευματικὴ αὐτὴ ἐμπειρία τῆς Ἐκκλησίας, διατύπωσε λακωνικὰ καὶ σοφὰ τὴν διαχρονικὴ αὐτὴ ἀλήθεια, ὅτι «ἡ πρᾶξι εἶναι ἡ βάσι (τὸ θεμέλιο) τῆς θεοπτίας».

3 Ὅταν ὁ πιστὸς καθαριστῇ ἀπὸ τὶς ἁμαρτίες του μὲ τὴν βαθιὰ μετάνοια καὶ τὴν εἰλικρινῆ ἐξομολόγησι, ἐπανενεργοποιεῖται ἡ ἀπενεργοποιημένη ἀπὸ τὰ μονωτικὰ καὶ ρυπογόνα ἀπόβλητα τῆς ἁμαρτίας ἄκτιστη Χάρι τοῦ Ἁγίου Χρίσματός του. Τότε ἀξιώνεται τὸν πλοῦτο τῶν ἁγιοπνευματικῶν χαρισμάτων καὶ γίνεται φωτοειδὴς ὄχι μόνον, ὡς πρὸς τὴν ψυχή, ἀλλὰ καὶ ὡς πρὸς τὸ σῶμα. Τότε ζεῖ, πρακτικῶς, τὴν πρόγευσι τῆς μέλλουσας ἀναστημένης αἰωνίου ζωῆς.

ΑΓΙΟΣ ΘΕΟΓΝΩΣΤΟΣ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΓΝΩΣΤΟΥ


ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Ὁ Ὅσιος Θεόγνωστος, ὁ τῶν παρόντων κεφαλαίων Πατήρ, πότερον, ὁ Ἀλεξανδρεύς, καὶ Ἐξηγητής, περὶ οὗ γίνεται μνεία παρὰ Φωτίῳ, ἀναγνώσει ρς΄, σελ. 151, οὗτός ἐστιν, ἢ ἄλλος τις, ἢ ἐν τίσιν ἤκμασε χρόνοις, ἐπ᾽ ἀκριβείας εἰπεῖν οὐκ ἔχομεν. Ὅσον δὲ ἐκ τοῦ καρποῦ αὐτοῦ τὸ δένδρον γνωρίσαι, ἀνὴρ καὶ οὗτος ἦν τῶν πράξει, καὶ γνώσει διαβεβηκότων, καὶ διὰ καθαρότητα βίου ἔνοικον ἔχων τὴν χάριν τοῦ Πνεύματος. Οὗ καὶ ταῖς ἐλλάμψεσι τὸν νοῦν φωτιζόμενος, αἷς φύσει πρόσεστιν ἡ πάντων ἀποκάλυψις καὶ ταῖς ζωηραῖς αὐτοῦ αὔραις, καθάπερ ὄργανον, ἐμπνεόμενος, οἷόν τι παναρμόνιον, καὶ ἱερὸν μέλος, τὰ παρόντα κεφάλαια ἐκελάδησε, καὶ διὰ τῆς ἐγκειμένης αὐτοῖς χάριτος, καὶ τῶν πνευματικῶν νοημάτων, θέλγει τῶν ἀναγινωσκόντων

Ὁ Ὅσιος Θεόγνωστος, ὁ Πατὴρ αὐτῶν ἐδῶ τῶν κεφαλαίων, ἐὰν εἶναι αὐτὸς ὁ ἴδιος, ὁ ἐξ Ἀλεξανδρείας [καταγόμενος] καὶ Ἐξηγητής, γιὰ τὸν ὁποῖο γίνεται ἀναφορὰ ἀπὸ τὸν Φώτιο στὴν ἀνάγνωσι 106, σελ. 151, ἢ κάποιος ἄλλος ἢ σὲ ποιοὺς χρόνους ἔζησε, δὲν ἔχομε [στοιχεῖα] γιὰ νὰ ποῦμε ἀκριβῶς. [Ἐπειδὴ δυνάμεθα], ὅμως, νὰ γνωρίσωμε πόσο σπουδαῖο [εἶναι] τὸ δένδρο ἀπὸ τὸν καρπό του, [ἀπὸ τὰ παρόντα κεφάλαια τοῦ Ἁγίου Θεογνώστου γνωρίζομε, ὅτι] καὶ αὐτὸς ἦταν ἄνθρωπος ἀπὸ ἐκείνους, οἱ ὁποῖοι ἔχουν διέλθη [τὴν παροῦσα ζωὴ] μὲ τήρησι [τῶν ἐντολῶν τοῦ Θεοῦ] καὶ μὲ [θεία] γνῶσι καὶ ἔχοντας, ἐξ αἰτίας τῆς καθαρότητος τοῦ βίου [του], ἔνοικο [ἐντός του] τὴν Χάρι τοῦ [Παναγίου] Πνεύματος. Καὶ φωτιζόμενος μὲ τὶς ἐλλάμψεις Αὐτοῦ, [δηλαδή, τοῦ Παναγίου Πνεύματος], διὰ τῶν ὁποίων ἐμφανίζεται φυσικῶς ἡ ἀποκάλυψι σὲ ὅλους καὶ ἐμπνεόμενος ἀπὸ τὶς γεμάτες Ζωὴ αὖρες Αὐτοῦ, ἤχησε ὡς [μουσικὸ] ὄργανο, τὰ παρόντα κεφάλαια, ὅπως κάποιο παναρμόνιο καὶ ἱερὸ μέλος καὶ θέλγει, διὰ τῆς Χάριτος, ἡ ὁποία βρίσκεται μέσα σ᾽ αὐτὰ καὶ τῶν πνευματικῶν [τους] νοημάτων,

καὶ ἀκοήν, καὶ διάνοιαν, καὶ πρὸς τὸν τῆς κατορθώσεως ἔμπρακτον ζῆλον ἀνερεθίζει. Τῆς τε γὰρ πρακτικῆς δι᾽ αὐτῶν ὁ ἐξαίρετος ὑφηγεῖται τρόπος, καὶ ἡ τῆς θεωρίας ἀνάβασις ἀπλανῶς ἐκδιδάσκεται. Καὶ τίνα, καὶ ὅπως χρὴ εἶναι τὸν Ἱερωσύνῃ τετιμημένον, ἐκ τούτων ἄν τις ἐπ᾽ ἀκριβὲς καταμάθοι. Καὶ ὅλως πολλῆς τινος τῆς ἠθικῆς ὠφελείας, καὶ σωτηριώδους νήψεως τοῖς φιλοπόνως μετιοῦσι γίνεται πρόξενα.

καὶ τὴν ἀκοὴ καὶ τὴν διάνοια ἐκείνων, οἱ ὁποῖοι [τὰ] διαβάζουν, καὶ [τοὺς] διεγείρει πρὸς τὸν ἔμπρακτο ζῆλο γιὰ τὴν ἐπίτευξι [τῆς ἐν Χριστῷ ζωῆς]. Διότι μὲ αὐτὰ [τὰ κεφάλαια] καὶ ὁ ἐξαίρετος τρόπος τῆς πρακτικῆς [ἀρετῆς] ὑποδεικνύεται καὶ ἡ ἀνάβασι στὴν θεωρία διδάσκεται ἀσφαλῶς, [χωρὶς πλάνη]. Ἐπίσης ἀπ᾽ αὐτὰ [τὰ κεφάλαια] εἶναι δυνατὸν νὰ μάθῃ κανεὶς ἐπακριβῶς ποιὸς καὶ πῶς πρέπει νὰ εἶναι αὐτός, ὁ ὁποῖος ἔχει τιμηθῆ μὲ Ἱερωσύνη. Καὶ γενικῶς προξενοῦν πολὺ μεγάλη ἠθικὴ ὠφέλεια καὶ σωστικὴ νῆψι σ᾽ ἐκείνους, οἱ ὁποῖοι φιλόπονα [τὰ] ἀκολουθοῦν, [τὰ ἐφαρμόζουν].



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΓΝΩΣΤΟΥ

ΛΟΓΟΙ

Ι

ΠΕΡΙ ΠΡΑΞΕΩΣ ΚΑΙ ΘΕΩΡΙΑΣ ΚΑΙ ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΗΣ Η ΑΚΡΟΣΤΙΧΙΣ ΗΔΕ:

ΤΟΙΣ ΟΣΙΩΤΑΤΟΙΣ ΠΑΤΡΑΣΙ ΛΑΖΑΡῼ ΚΑΙ ΒΑΡΛΑΑΜ

ΘΕΟΓΝΩΣΤΟΣ

ΠΑΝΕΥΤΕΛΗΣ ΑΝΑΞΙΟΣ ΤΟΥ ΠΑΝΤΟΣ ΚΟΣΜΟΥ

ΤΗΣ ΟΠΟΙΑΣ Η ΑΚΡΟΣΤΟΙΧΙΔΑ [ΕΙΝΑΙ] Η ΕΞΗΣ:

ΣΤΟΥΣ ΟΣΙΩΤΑΤΟΥΣ ΠΑΤΕΡΕΣ ΛΑΖΑΡΟ ΚΑΙ ΒΑΡΛΑΑΜ,
Ο ΘΕΟΓΝΩΣΤΟΣ,
Ο ΠΑΝΕΥΤΕΛΗΣ, ΑΝΑΞΙΟΣ ΟΛΟΥ ΤΟΥ ΚΟΣΜΟΥ [ΑΦΙΕΡΩΝΕΙ]

α΄. Τότε νόμιζε ἀληθῆ ἔχειν ἀρετήν, ὅταν πάντων τῶν ἐπὶ γῆς τελείως καταφρονήσῃς, ἑτοίμην ἔχων τὴν καρδίαν διὰ καθαρᾶς συνειδήσεως πάντοτε τοῦ ἐκδημῆσαι πρὸς Κύριον. Ἐὰν δὲ γνωσθῆναι θέλῃς παρὰ Θεοῦ, ἀγνοήθητι παρὰ τῶν ἀνθρώπων, ὅσον τὸ κατὰ δύναμιν.

β΄. Ὅρα τὰς περιττὰς τοῦ σώματος παρακλήσεις, καὶ ὑποστέλλου ἐξ αὐτῶν, μήπως ἀφέλωνταί τι τῶν κό-

1. Τότε νὰ θεωρῇς, ὅτι ἔχεις γνήσια ἀρετή, ὅταν καταφρονήσῃς ὅλα τὰ γήϊνα [πράγματα], ἔχοντας, διὰ τῆς καθαρᾶς συνειδήσεως, πάντοτε ἕτοιμη τὴν καρδία [σου], γιὰ νὰ ἐκδημήσῃς, [νὰ μεταβῇς], στὸν Κύριο. Ἐάν, ὅμως, θέλῃς, νὰ ἀναγνωρισθῇς ἀπὸ τὸν Θεό, [νὰ σὲ ἀναγνωρίζῃ ὁ Θεός], ἂς εἶσαι ἀγνοημένος, ὅσον [εἶναι] δυνατόν, ἀπὸ τοὺς ἀνθρώπους.

2. Πρόσεξε τὶς περιττὲς παρηγορίες τοῦ σώματος καὶ νὰ ἀπομακρύνεσαι ἀπ᾽ αὐτές, μήπως ἀφαιρέσουν κάτι ἀπὸ τοὺς κόπους σου·

πων σου· καθ᾽ ὅσον δηλαδὴ τοῖς προηγουμένοις πόνοις, πρὸ ἀπαθείας, ἡ ἐντεῦθεν ἐκ τούτων ἐπεισέρχεται ἄνεσις. Ζημίαν ἡγούμενος, οὐ τὴν στέρησιν τῶν ἡδέων, ἀλλὰ τό, διὰ τῆς ἀπολαύσεως τούτων, τῶν κρειττόνων ἀποπεσεῖν.

γ΄. Ἴσθι μύρμηκα σεαυτὸν ἔχων, καὶ σκώληκα ἐν πᾶσι [recte: πάσῃ] αἰσθήσει, ὅπως γένῃ θεόπλαστος ἄνθρωπος. Εἰ μὴ γὰρ ἐκεῖνο πρῶτον, οὐκ ἂν τοῦτο ἐπακολουθήσῃ· καὶ ὅσον ἂν κατέλθῃς, τοσοῦτον ἀνέλθῃς. Ὅταν δὲ καὶ σεαυτὸν ὡσεὶ οὐθὲν ἐνώπιον Κυρίου[1] λογίζῃ κατὰ τὸν ψαλμῳδόν, τότε γίνῃ μέγας ἐκ μικροῦ λεληθότως. Καὶ ὁπηνίκα ὑποπτεύῃς ἔχειν καὶ εἰδέναι οὐδέν, τὸ τηνικαῦτα πλουτεῖς καὶ πρᾶξιν καὶ γνῶσιν ἐν Κυρίῳ ἐπαινετήν.

δ΄. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ[2], ἡδονῆς λέγω καὶ πονηρίας, ἀφ᾽ ὧν πᾶσα τίκτεται κακία. Σύντριψον δὲ δι᾽ ἐγκρατείας, καὶ τῇ ἐκ ταπεινώσεως ἀκακίᾳ, ἵνα εἰ καὶ ἐκζητηθῇ σου ἡ ἁμαρτία, γενναίῳ λόγῳ ἅπασα ἐν καιρῷ

[νὰ τὶς ἀποφεύγῃς], δηλαδή, ἐπειδή, στοὺς προηγουμένους κόπους [σου], πρὶν [φθάσῃς στὸ στάδιο] τῆς ἀπαθείας, ἐπιτίθεται ἡ ἄνεσι, [ἡ ὁποία προέρχεται] ἀπ᾽ ἐκεῖ, ἀπ᾽ αὐτὲς [τὶς παρηγορίες]. [Καὶ] νὰ θεωρῇς, ὡς ζημία, ὄχι τὴν στέρησι τῶν ἡδονῶν, ἀλλὰ τὸ νὰ ἐκπέσῃς ἀπὸ τὰ ἀνώτερα, ἕνεκα τῆς ἀπολαύσεως αὐτῶν [τῶν ἡδονῶν].

3. Μάθε νὰ θεωρῇς τὸν ἑαυτόν σου σὰν μυρμήγκι καὶ σκουλήκι, μὲ ὅλη σου τὴν αἴσθησι, γιὰ νὰ γίνῃς θεόπλαστος ἄθρωπος. Διότι, ἐὰν δὲν γίνῃ ἐκεῖνο πρῶτα, δὲν θὰ ἐπακολουθήσῃ αὐτὸ [τὸ δεύτερο] καὶ ὅσο θὰ κατέβῃς [χαμηλὰ μὲ τὴν αὐτομεμψία], τόσο πολὺ θὰ ἀνέβῃς. Ὅταν λογαριάζῃς δὲ καὶ τὸν ἑαυτόν σου, σὰν [ἕνα] τίποτε, ἐνώπιον τοῦ Κυρίου, σύμφωνα μὲ τὸν Ψαλμωδό, τότε θὰ γίνῃς, χωρὶς νὰ τὸ ἀντιληφθῇς, ἀπὸ μικρὸς μεγάλος. Καὶ ὅταν ὑποθέτῃς, ὅτι τίποτε δὲν ἔχεις καὶ δὲν γνωρίζεις, τότε πλουτίζεις καὶ κατὰ τὴν πρᾶξι καὶ κατὰ τὴν γνῶσι [ἐκείνη, ἡ ὁποία εἶναι] ἐπαινετὴ στὸν Κύριο.

4. Σύντριψε τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ τοῦ πονηροῦ, ἐννοῶ, [δηλαδή, τὴν δύναμι] τῆς ἡδονῆς καὶ τῆς πονηρίας, ἀπὸ τὶς ὁποῖες γεννᾶται κάθε κακία. Νὰ [τὶς] συντρίψῃς δὲ μὲ τὴν ἐγκράτεια καὶ μὲ τὴν ἀκακία, [ποὺ προέρχεται] ἀπὸ τὴν ταπείνωσι, ὥστε καὶ ἂν σοῦ ζητηθῇ, μὲ αὐστηρὸ λόγο, ἀπόδοσι δικαιοσύνης γιὰ ὅλες τὶς ἁμαρτίες [σου, τότε], κατὰ τὸν καιρὸ τῆς

ἐρεύνης τῶν πεπραγμένων, μὴ εὑρεθῇ τι. Ἐξαλείφεται γὰρ τὰ πεπλημμελημένα, ἡνίκα τὰ αἴτια τούτων, δι᾽ ὧν ἐτελεσιουργήθησαν, μεμισηκότες ἡμεῖς, κατ᾽ αὐτῶν στρατευσώμεθα· τὴν πρώτην ἧτταν, ὑστάτῃ νίκῃ ἀνακαλούμενοι.

ε΄. Οὐδέν ἐστι κρεῖττον καθαρᾶς προσευχῆς, ἀφ᾽ ἧς ὡς ἐκ πηγῆς αἱ ἀρεταὶ βρύουσιν· ἥ τε σύνεσις καὶ ἡ πρᾳότης, ἡ ἀγάπη, καὶ ἡ ἐγκράτεια, καὶ ἡ ἐκ δακρύων ἐγγινομένη θεόθεν ἀντίληψις ὁμοῦ, καὶ παράκλησις. Κάλλος δὲ ταύτης, ἐν μόνοις τοῖς λεγομένοις, καὶ νοουμένοις εἶναι τὴν διάνοιαν, καὶ ἀκόρεστος διαπαντὸς τῆς τοῦ θείου ἐπιτυχίας ὄρεξις, ὁπότε τὸν ἴδιον δεσπότην διὰ τῆς τῶν ὄντων θεωρίας ἀνιχνεύων ὁ νοῦς, καὶ ζητῶν φλεγομένῳ πόθῳ διψητικῶς εὑρεῖν, καὶ ἰδεῖν τὸν ἀθέατον, ἢ θεωρῶν σκότος ἀποκρυφὴν αὐτοῦ[3], ἀποστρέφει πάλιν εἰς ἑαυτὸν πανευλαβῶς συστελλόμενος· ἀρκούμενος μὲν ἄρτι τῇ συμφερόντως ἀποκαλυπτομένῃ θεωρίᾳ, καὶ ταύτῃ παραμυθού-

ἐξετάσεως ἐκείνων, τὰ ὁποῖα ἔχεις διαπράξει, νὰ μὴν εὑρεθῇ τίποτε [εἰς βάρος σου]. Ἐξαλείφονται δὲ τὰ ἁμαρτήματα, ποὺ ἔχομε κάνει, ὅταν ἐμεῖς, ἔχοντας μισήσει τὰ αἴτια, ἕνεκα τῶν ὁποίων πραγματοποιήθηκαν, θὰ ἐπιτεθοῦμε ἐναντίον τους· ἐπανορθώνοντας, [κατ᾽ αὐτὸν τὸν τρόπο], τὴν πρώτη ἧττα μὲ τὴν τελευταία νίκη.

5. Τίποτε δὲν εἶναι καλλίτερο ἀπὸ τὴν καθαρὰ προσευχή, ἀπὸ τὴν ὁποία ἀναβλύζουν, σὰν ἀπὸ πηγή, οἱ ἀρετές· [δηλαδὴ] καὶ ἡ σύνεσι καὶ ἡ πραότης, ἡ ἀγάπη καὶ ἡ ἐγκράτεια καὶ ἡ ἐκ Θεοῦ βοήθεια, μαζὶ καὶ παρηγορία, ἡ ὁποία ἔρχεται μέσα [στὴν ψυχὴ] διὰ δακρύων. Κάλλος δὲ αὐτῆς [τῆς προσευχῆς εἶναι] τὸ νὰ εὑρίσκεται ὁ νοῦς [προσηλωμένος] μόνον σ᾽ ἐκεῖνα, ποὺ λέγονται καὶ νοοῦνται, [δηλαδή, στοὺς λόγους καὶ τὰ νοήματα τῆς προσευχῆς] καὶ ἡ ἀκόρεστη ἐπιθυμία νὰ ἐπιτύχῃ πάντοτε [ὁ ἄνθρωπος] τὸ θεῖο, [νὰ φθάσῃ, δηλαδή, στὴν ἕνωσι μὲ τὸν Θεό], ὁπότε ὁ νοῦς, ἀνιχνεύοντας, διὰ μέσου τῆς θεωρίας τῶν ὄντων, τὸν Κύριό του, καὶ ἐκζητώντας μὲ φλογερὸ πόθο, διψητικά, νὰ βρῇ καὶ νὰ δῇ τὸν Ἀθέατο ἢ καὶ βλέποντας τὸ σκότος[1], [δηλαδή, μόνο τὸν γνόφο, ποὺ Τὸν ἀποκρύπτει, ποὺ εἶναι] ἡ ἀποκρυφή Του, πάλι ἐπιστρέφει στὸν ἑαυτόν του, μὲ πολλὴ εὐλάβεια, μὲ τὸ νὰ συγκεντρώνεται [μέσα του] καὶ νὰ ἀρκῆται στὴν κατὰ τὸ συμφέρον του θεωρία, ποὺ μόλις τώρα τοῦ ἀποκαλύπτεται καὶ νὰ παρηγορῆται μ᾽ αὐ-

μενος. Εὔελπις δὲ ὢν πάντως τότε καταλαβεῖν τὸ ποθούμενον, ὅταν τῶν ἐκφάσεων λυθέντων [recte: λυθεισῶν], καὶ τῆς ἐν σκιαῖς φαντασίας ὡς ἐν ἐσόπτρῳ τε, καὶ αἰνίγμασιν[4]*, καὶ κατὰ πρόσωπον ἀκραιφνὴς ὄψις ἔσται διηνεκῶς.*

ς΄. Συστέλλου ἀπὸ τῶν ὑψηλοτάτων θεωριῶν, εἰ μήπου ἀκροτάτης ἀπαθείας ἐπέβης, καὶ μὴ τρέχε ἀκίχητα τῶν ὑπὲρ σὲ ἐφιέμενος. Εἰ βούλει γάρ, φησί, θεολόγος γενέσθαι ὁμοῦ, καὶ θεωρητικός, διὰ πολιτείας ἄνελθε, καὶ διὰ καθάρσεως κτῆσαι τὸ καθαρόν. Ἐπεὶ δὲ θεολογίας ἐμνήσθην, ὅρα μὴ τὸ ταύτης ὕψος εἰς ἀπειρίαν ἐπεκτεινόμενος. Καὶ σκόπει, ὅτι οὐ θέμις ἡμῖν γάλα [recte: γάλακτι] ἔτι ποτιζομένοις[5] *τῶν ἀρετῶν, πρὸς τοῦτο πειρᾶσθαι διαπετᾶν, μήπως πτερορρυήσωμεν, ὡς τὰ τῶν νεοττῶν ἀτέλεστα· εἰ καὶ τὸ τῆς γνώσεως μέλι τὸν πόθον παραβιάζεται. Ὁπηνίκα δὲ σωφροσύνῃ καὶ δάκρυσι καθαιρόμενοι, γῆθεν ὡς Ἠλίας αἰρώμεθα*[6] *ἢ Ἀββακούμ*[7]*, τὴν ἐν νεφέλαις*

τήν. Ἔχοντας δέ, ὁπωσδήποτε, τὴν καλὴ ἐλπίδα, ὅτι τότε, [στὴν μέλλουσα ζωή], θὰ κατακτήσῃ τὸ ποθούμενο, [τὸν Θεό, δηλαδή], ὅταν καὶ θὰ καταστῇ καθαρά, ἡ κατὰ πρόσωπον θέα [τοῦ Θεοῦ], διαπαντός, ἀφοῦ προηγουμένως διαλυθοῦν οἱ εἰκόνες καὶ ἡ μέσα σὲ σκιὲς φανέρωσι, [ποὺ φαίνεται στὴν παροῦσα ζωή], ὅπως μέσα σὲ καθρέπτη καὶ σὲ αἰνίγματα.

6. Νὰ συστέλλεσαι ἀπὸ τὶς πολὺ ὑψηλὲς θεωρίες, ἐὰν δὲν ἀνέβηκες ἀκόμη, [ἂν δὲν κατέκτησες], τὴν ἀκροτάτη ἀπάθεια καὶ νὰ μὴν τρέχῃς, [ἔχοντας] ἀνέφικτη τὴν δυνατότητα νὰ φθάσῃς, ἐπιθυμώντας [ἐκεῖνα, τὰ ὁποῖα εἶναι] πάνω ἀπὸ σένα, [πάνω ἀπὸ τὴ δύναμί σου]. Διότι, λέγει, ἐὰν θέλῃς νὰ γίνῃς θεολόγος καὶ συγχρόνως θεωρητικός, ἀνέβα [στὴν κατάστασι αὐτή], μὲ τὴν πολιτεία σου καὶ μὲ τὴν κάθαρσι ἀπόκτησε τὸ Καθαρό. Ἐπειδὴ δέ, ἐμνημόνευσα τὴν θεολογία, πρόσεχε νὰ μὴν ἐπεκτείνεσαι στὸ ὕψος αὐτῆς, μὲ ἀπειρία [χωρὶς πεῖρα]. Καὶ ἔχε κατὰ νοῦν, ὅτι δὲν [εἶναι] ἐπιτρεπτό, ἐνῶ ἐμεῖς ποτιζόμεθα ἀκόμη μὲ τὸ γάλα τῶν ἀρετῶν, νὰ ἀποπειρώμεθα νὰ πετάξωμε σ᾽ αὐτὸ [τὸ ὕψος τῆς θεολογίας], μήπως τυχὸν πέσουν τὰ πτερά μας, ὅπως τῶν νεοσσῶν [τῶν μικρῶν πτηνῶν] ἀτέλεστα, [χωρὶς νὰ ὁλοκληρωθοῦν], ἔστω κι ἂν τὸ μέλι τῆς [θείας] γνώσεως βιάζει, πρὸς ἐπίσπευσι, τὸν πόθο [μας]. Κάθε φορά, ποὺ καθαιρόμεθα, μὲ σωφροσύνη καὶ δάκρυα, ὑψωνόμαστε ἀπὸ τὴν γῆ, ὅπως ὁ Ἠλίας ἢ ὁ Ἀββακούμ, κάνοντας [μ᾽ αὐτὸν τὸν τρόπο] ἀπὸ τώρα τὸ προοίμιον τῆς ἁρπα-

ἀπάρτι τότε προοιμιαζόμενοι ἁρπαγήν[8]*. Καὶ καθαρᾷ προσευχῇ θεωρητικῇ τε, καὶ ἀρεμβάστῳ, ἔξω τῶν αἰσθήσεων εὑρισκόμενοι, ζητῶμεν Θεόν, τότε ἴσως καὶ τῆς θεολογίας ποσῶς προσαψόμεθα.*

ζ΄. Ἴσως ἐπιθυμῶν θέας ἀξιωθῆναι θείας, καὶ ἐμφανείας κατὰ διάνοιαν, εἰρηνικὸν καὶ ἡσύχιον πρότερον ἄσπασαι βίον· καὶ σχολάσας, γνῶθι καὶ σεαυτόν, καὶ Θεόν. Εἰ γὰρ τοῦτο, οὐδὲν τὸ κωλῦον ὡς ἐν αὔρᾳ λεπτῇ[9] *τῇ καθαρᾷ καταστάσει καὶ ἀθορύβῳ παντὶ πάθει, τὸν πᾶσι ἀθέατον ὄψεσθαι κατὰ νοῦν, σωτηρίαν σοι διὰ τῆς ἑαυτοῦ ἐκτυπωτέρας γνώσεως εὐαγγελιζόμενον.*

η΄. Ὥς περ ἀστραπῆς προτρεχούσης, εὐθέως προσδοκᾶται καὶ ἡ βροντή, οὕτως ἔνθα θεῖος ἱλασμὸς ἐπέλαμψε, καὶ ἡ τῶν παθῶν ζάλη γαληνιᾷ· ὅπου δὲ τοῦτο, συμπαρεδρεύει τῷ κτησαμένῳ καὶ ὁ ἀῤῥαβὼν τῆς ἐκεῖθεν μακαριότητος. Οὐκ ἔστι δὲ θεῖον ἔλεος, ἢ ἀπαθείας ἐλπίς, ἐν ψυχῇ ἀγαπώσῃ τὸν κόσμον ὑπὲρ τὸν κτίσαντα, καὶ προσπαθῶς ἐχούσῃ πρὸς

γῆς μας, [ποὺ θὰ συμβῇ] τότε, διὰ τῶν νεφελῶν, [κατὰ τὴν Δευτέρα Παρουσία τοῦ Κυρίου]. Καὶ [ὅποτε] ἐπιζητοῦμε τὸν Θεό, μὲ καθαρὴ προσευχή, θεωρητικὴ [νοερὰ] καὶ ἀμετεώριστη, εὑρισκόμενοι ἔξω ἀπὸ τὶς αἰσθήσεις, τότε ἴσως θὰ ἀγγίξωμε κάπως τὴν Θεολογία.

7. Ἐάν, ἴσως ἐπιθυμῇς νὰ ἀξιωθῇς κατὰ διάνοιαν τὴν θεϊκὴ θέα καὶ ἐμφάνεια, νὰ ἀσπασθῇς, προηγουμένως, τὸν εἰρηνικὸ καὶ ἥσυχο βίο· καὶ ἀφοῦ ἡσυχάσῃς, γνώρισε καὶ τὸν ἑαυτόν σου καὶ τὸν Θεό. Διότι, ἐὰν [κάνῃς] αὐτό, δὲν [ὑπάρχει] τίποτε, τὸ ὁποῖο νὰ ἐμποδίζῃ στὴν καθαρὰ κατάστασι καὶ τὴν ἥσυχη ἀπὸ κάθε πάθος, [στὴν ὁποία θὰ εὑρίσκεσαι], ὥστε νὰ δῇς, ὁπωσδήποτε, νοερῶς τὸν Ἀθέατο σὲ ὅλους, σὰν [μέσα] σὲ λεπτὴ αὔρα, νὰ εὐαγγελίζεται σὲ σένα, [νὰ σοῦ ἐξαγγέλλῃ χαρμόσυνα], τὴν σωτηρία σου, μὲ τὴν πλέον εὐκρινῆ γνῶσι Του.

8. Ὅπως, ἀκριβῶς, ὅταν προηγῆται ἡ ἀστραπή, ἀμέσως ἀναμένεται καὶ ἡ βροντή, ἔτσι, ὅπου ἔλαμψε τὸ θεῖον ἔλεος, [ἐκεῖ] καὶ ἡ ζάλη τῶν παθῶν γαληνεύει. Ὅπου δὲ [ἐπιτυγχάνεται] αὐτό, σ᾽ ἐκεῖνον, ὁ ὁποῖος ἀπέκτησε [τὸ θεῖον ἔλεος], βρίσκεται κοντά του καὶ ὁ ἀρραβὼν τῆς αἰωνίου μακαριότητος. Δὲν ὑπάρχει δὲ θεῖον ἔλεος, ἢ ἐλπίδα γιὰ ἀπάθεια σὲ ψυχή, ποὺ ἀγαπᾶ τὸν κόσμο περισσότερο ἀπὸ τὸν Δημιουργὸ καὶ διάκειται μὲ προσπάθεια [προσκόλλησι ἐμπαθῆ] πρὸς

τὰ ὁρώμενα καὶ ὁλικῶς ἀντεχομένῃ, τῶν σαρκικῶν ἡδονῶν τε, καὶ ἀπολαύσεων.

θʹ. Τὸ θεῖον ὅ,τι ποτέ ἐστι, καὶ ποῦ, μὴ ζήτει κατὰ νοῦν· ὑπερούσιον γάρ, καὶ τόπῳ μὴ ἀνεχόμενον, ὡς ὑπὲρ τὸ πᾶν. Μόνον δὲ ἐμπερίγραπτον Θεὸν Λόγον ἐνοπτρίζου, ὡς ἐφικτόν, ἀκτινοφωτοβολοῦντα τῇ θείᾳ φύσει, καὶ τόπῳ ὑπονοούμενον τὸν ἁπανταχοῦ, διὰ τὸ ἀπερίγραπτον τῆς θεότητος. Πλὴν ὅσον ἂν καθαίρῃ, κατὰ τοσοῦτον καὶ τῆς ἐλλάμψεως καταξιωθήσῃ.

ιʹ. Ἀληθοῦς γνώσεως ἐρῶν, καὶ πληροφορίαν [recte: πληροφορίας] σωτηρίας ἀνενδοιάστου, πρότερον φιλοσόφησον διαῤῥῆξαι τοὺς ἐμπαθεῖς τῆς ψυχῆς πρὸς τὸ σῶμα δεσμούς, καὶ γυμνωθεὶς τῆς προσπαθείας τῶν ὑλικῶν, κάτελθε εἰς τὴν τῆς ταπεινώσεως ἄβυσσον, καὶ εὑρήσεις τὸν πολύτιμον μαργαρίτην τῆς σωτηρίας σου, ὡς ἐν ὀστράκῳ τῇ θείᾳ γνώσει ἐγκεκρυμμένον καὶ τὴν λαμπρότητά σοι τῆς τοῦ Θεοῦ βασιλείας προμνηστευόμενον.

τὰ γήϊνα καὶ ἐπιδίδεται, ὁλοκληρωτικά, στὶς σαρκικὲς ἡδονὲς καὶ ἐπιπλέον στὶς ἀπολαύσεις.

9. Τί εἶναι τέλος ἡ θεότης καὶ ποῦ [εἶναι], μὴν ζητᾷς μὲ τὸν νοῦ σου [νὰ μάθῃς], διότι [εἶναι] ὑπερούσιος, καὶ δὲν περιορίζεται σὲ τόπο, καθὼς [εἶναι] πάνω ἀπὸ κάθε τι. Μόνον νὰ βλέπῃς ἐντός [σου], ὅσον [εἶναι] ἐφικτό, τὸν περιγραπτό, [ἕνεκα τῆς ἐνανθρωπήσεώς Του], Θεὸν Λόγο, νὰ ἐκπέμπῃ ἀκτῖνες φωτὸς μὲ τὴν θεία φύσι [του] καὶ νὰ ὑπονοῆται σὲ [ἕναν] τόπο, [ἐκεῖνος, ποὺ εὑρίσκεται] παντοῦ, ἕνεκα τοῦ ἀπεριορίστου τῆς θεότητός [του]. Πλήν, ὅσο θὰ καθαίρεσαι [ἀπὸ τὰ πάθη], τόσο θὰ καταξιωθῇς καὶ τῆς ἐλλάμψεως [τοῦ Ἀκτίστου Φωτός].

10. Ἐὰν ἐπιθυμῇς τὴν ἀληθινὴ [θεία] γνῶσι καὶ [νὰ λάβῃς] πληροφορία γιὰ ἀναμφίβολη σωτηρία [σου], προηγουμένως, ἀσκήσου νὰ διαρρήξῃς τοὺς ἐμπαθεῖς δεσμοὺς τῆς ψυχῆς μὲ τὸ σῶμα καί, ἀφοῦ γυμνωθῇς ἀπὸ τὴν προσπάθεια, [τὴν προσκόλλησι] πρὸς τὰ ὑλικά, κατέβα στὴν ἄβυσσο τῆς ταπεινώσεως καὶ [ἐκεῖ] θὰ εὕρῃς τὸν πολύτιμο μαργαρίτη τῆς σωτηρίας σου νὰ εἶναι κρυμμένος μέσα στὴν θεία γνῶσι, σὰν μέσα σὲ ὄστρακο, καὶ νὰ προμνηστεύεται σὲ σένα, [νὰ σοῦ προϋπόσχεται], τὴν λαμπρότητα τῆς Βασιλείας τοῦ Θεοῦ.

ια΄. Τῷ μὲν τὴν νοητὴν κατορθωκότι ὑποταγήν, καὶ ὑποτάξαντι τὴν σάρκα τῷ πνεύματι, οὐ χρεία ἀνθρωπίνης ὑποταγῆς. Ὑποτάσσεται γὰρ οὗτος τῷ τοῦ Θεοῦ λόγῳ καὶ νόμῳ, ὡς εὐγνώμων ὑπήκοος· ἐν οἷς δὲ μάχη καὶ πόλεμος σώματος πρὸς ψυχήν, ἀναγκαῖον ὑποταγῆναι, καὶ κτήσασθαι στρατηγὸν καὶ κυβερνήτην, πηδαλιουχοῦντα ἐπιστημόνως καὶ ἄριστα καθοπλίζοντα, μήπως ὑπὸ τῶν νοητῶν πολεμίων ἀναλωθῶμεν, καὶ ὑπὸ τῶν παθῶν ὑπὸ ἀπειρίας καταποντισθῶμεν.

11. Σ᾽ ἐκεῖνον μέν, ὁ ὁποῖος ἔχει κατορθώσει τὴν νοητὴ ὑποταγὴ καὶ ὑπέταξε τὴν σάρκα στὸ πνεῦμα, δὲν [ὑπάρχει] ἀνάγκη ἀνθρωπίνης ὑποταγῆς, [δηλαδή, ὑποταγῆς σὲ ἄνθρωπο]. Διότι αὐτὸς ὑποτάσσεται στὸν Λόγο καὶ στὸν νόμο τοῦ Θεοῦ, ὡς εὐγνώμων ὑπήκοος. Σὲ [μᾶς], ὅμως, στοὺς ὁποίους [ἐνεργεῖται ἀκόμη] μάχη καὶ πόλεμος τοῦ σώματος ἐναντίον τῆς ψυχῆς, [εἶναι] ἀναγκαῖο νὰ ὑποταχθοῦμε καὶ νὰ ἀποκτήσωμε στρατηγὸ καὶ κυβερνήτη [Γέροντα], ὥστε νὰ [μᾶς] πηδαλιουχῇ μὲ γνῶσι καὶ νὰ [μᾶς] ὁπλίζῃ ἄριστα, μήπως τυχὸν καταστραφοῦμε ἀπὸ τοὺς νοητοὺς πολεμίους [τοὺς δαίμονες] καὶ καταποντισθοῦμε ἀπὸ τὰ πάθη, ἐξ αἰτίας τῆς ἀπειρίας [μας].

ιβ΄. Ὅταν ὑπό τινος πάθους οὐ διενοχλῇ, καὶ ὁ θεῖος πόθος αὔξῃ ἔνδον ἐν τῇ καρδίᾳ σου, καὶ ὁπηνίκα ὡς ὕπνον λογιζόμενος οὐ φοβῇ τὸν θάνατον, ἀλλὰ καὶ μᾶλλον ἐπιποθῇς τὴν ἀνάλυσιν, τότε καὶ τὸν ἀῤῥαβῶνα ἐκτήσω τῆς σωτηρίας ὡς δεῖ, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν περιφέρεις ἔνδοθεν[10], ἀνεκλαλήτῳ χαίρων χαρᾷ.

12. Ὅταν δὲν ἐνοχλῆσαι ἀπὸ κάποιο πάθος καὶ αὐξάνῃ ὁ θεῖος πόθος, μέσα στὴν καρδία σου, καὶ ὅταν δὲ φοβᾶσαι τὸν θάνατο, τὸν ὁποῖο θεωρεῖς σὰν ὕπνο, ἀλλὰ ἐπὶ πλέον ποθεῖς σφοδρὰ περισσότερο τὴν ἀναχώρησι, τότε, [πράγματι], ἀπέκτησες καὶ τὸν ἀρραβῶνα τῆς σωτηρίας, ὅπως πρέπει, καὶ περιφέρεις μέσα σου τὴν βασιλεία τῶν οὐρανῶν, ἔχοντας ἀνέκφραστη χαρὰ μεγάλη.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ιγ΄. Ἱερωσύνης καταξιωθεὶς

13. Ἐὰν καταξιωθῇς τῆς θείας καὶ

τῆς θείας καὶ σεβασμίου, σεαυτὸν πρότερον κεχρεώστηκας ἔχειν τεθυμένον τῇ θνήσει τῶν παθῶν, καὶ τῶν ἡδονῶν, καὶ οὕτω κατατολμᾶν προσάπτεσθαι τῆς ζωηρᾶς, καὶ φρικώδους θυσίας, εἰ μὴ βούλει, ὥς ὕλη εὔπρηστος τῷ θείῳ κατακαῆναι πυρί. Εἰ γὰρ τὸ Σεραφεὶμ λαβίδος χωρὶς οὐ τετόλμηκε τοῦ θείου προσάψασθαι ἄνθρακος[11]*, πῶς αὐτὸς ἐκτὸς ἀπαθείας ἅψῃ; δι᾽ ἧς τήν τε γλῶσσαν ἕξεις ἡγιασμένην, καὶ τὰ χείλη κεκαθαρμένα, καὶ τὴν ψυχὴν ἁγνὴν σὺν τῷ σώματι, καὶ αὐτὰς δὲ τὰς χεῖρας, χρυσίου λαμπροτέρας παντός, ὡς ὑπουργοὺς τοῦ ὑπερουσίου πυρός, καὶ θύματος;*

ιδ΄. Σύνες τῶν λεγομένων ἀπρὶξ τὴν δύναμιν, ὅτι ἐκεῖνο καθεκάστην ἐποπτεύεις τοῦ Θεοῦ τὸ σωτήριον, ὅπερ ἅπαξ ἰδὼν Συμεὼν ὁ πρέσβυς, ἐξεθαμβήθη, καὶ τὴν ἀπόλυσιν ηὔχετο[12]*. Καὶ εἰ μὴ ἐχρηματίσθης ὑπὸ τοῦ Ἁγίου Πνεύματος δεκτὸς εἶναι μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ὥς περ ἰσάγγελος, μὴ κατατολμᾷς ῥιψοκινδύνως τῆς τῶν θείων φρικτῆς καὶ*

σεβασμίας Ἱερωσύνης, ἔχεις χρέος, προηγουμένως, νὰ ἔχῃς θυσιασμένο τὸν ἑαυτό σου μὲ τὸν θάνατο, [τὴν νέκρωσι], τῶν παθῶν καὶ τῶν ἡδονῶν, καὶ ἔτσι νὰ ἀποτολμᾷς νὰ προσεγγίζῃς τὴν ζωηφόρο καὶ φρικώδη θυσία, ἐὰν δὲν θέλῃς νὰ κατακαῇς σὰν εὔφλεκτη ὕλη ἀπὸ τὸ θεϊκὸ πῦρ. Διότι, ἐὰν τὸ Σεραφεὶμ δὲν εἶχε τὴν τόλμη νὰ ἀγγίξῃ χωρὶς λαβίδα τὸν θεῖο ἄνθρακα, πῶς, θὰ ἀγγίξῃς ἐσὺ [εὑρισκόμενος] ἐκτὸς τῆς ἀπαθείας; διὰ τῆς ὁποίας [ἀπαθείας] καὶ τὴν γλῶσσα θὰ ἔχῃς ἁγιασμένη καὶ τὰ χείλη κεκαθαρμένα καὶ τὴν ψυχὴ ἁγνὴ μαζὶ μὲ τὸ σῶμα, ἀκόμη καὶ αὐτὰ τὰ χέρια λαμπρότερα ἀπὸ ὅλο τὸ χρυσάφι, καθὼς [τὰ χέρια εἶναι] ὑπηρέτες τοῦ ὑπερουσίου Πυρὸς καὶ Θύματος;

14. Συλλογίσου μὲ σταθερότητα τὴν δύναμι ἐκείνων, ποὺ λέγονται, διότι κάθε μέρα ἔχεις τὴν εὐλογία νὰ βλέπῃς, ἐκεῖνο τὸ Σωτήριο τοῦ Θεοῦ, τὸ ὁποῖο ἀκριβῶς, ἀφοῦ μία φορὰ εἶδε ὁ Πρεσβύτης Συμεών, γέμισε ἀπὸ θάμβος, καὶ προσηύχετο γιὰ τὴν ἀπόλυσί [του ἀπὸ τὴν παροῦσα ζωή]. Καὶ ἐὰν δὲν ἔλαβες ἀποκάλυψι ἀπὸ τὸ Ἅγιο Πνεῦμα, ὅτι εἶσαι δεκτός, ὡς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, σὰν ἀκριβῶς ἰσάγγελος, μὴν τολμᾷς [νὰ τελῇς] ῥιψοκίνδυνα τὴν φρικτὴ καὶ πάναγνο

πανάγνου ἱεροτελεστίας, ἣν καὶ Ἄγγελοι σέβονται, καὶ πολλοὶ τῶν ἁγίων ὡς ἀκήρατον πανευλαβῶς ὑπεστάλησαν· μήπως, ὡς ὁ Ζᾶν ἐκεῖνος[13]*, δοκήσει τοῦ ἀγαθοῦ ἐξολοθρευθῇς.*

ιε΄. Πρόσεχε σεαυτῷ[14]*, κατὰ τὸν εἰπόντα· ἵνα εἰ καί τι σοι πρῴην ἢ ἐγγίνεται ἴσως ῥυπῶδες ἐξ ἀσθενείας, τῷ θείῳ καταδαπανᾶται πυρί, ὑπὲρ τῶν ἰδίων πρότερον ἁμαρτιῶν διαπαντὸς προσκομίζῃς. Οὕτω γὰρ ἂν ὡς ἐκλογῆς εὔχρηστον σκεῦος καὶ καθαρὸν καὶ τοιούτου θύματος ἄξιον, ἰσχύσειας εἰς ἀργυρίου φύσιν, εἰ μόνον ἕξεις ἐκ παῤῥησίας τὸ θεῖον ἐπικλινόμενον. Ὅπου γὰρ Θεὸς εἰς ὑπακοὴν ἕτοιμος, οὐδὲν ἐμπόδιον τῇ ἐκ τούτου εἰς τοῦτο μεταβολῇ.*

ις΄. Ἄθρει δὲ ὅσης κατηξιώθης ἰσαγγέλου τιμῆς, καὶ σπεῦδε διαμένειν ἀνέπαφος ἐν ᾧ ἐκλήθης βαθμῷ, δι᾽ ἀρετῆς πάσης καὶ καθαρότητος. Τὸν γὰρ πεσόντα ἑωσφόρον, οἶδας ἐκ ποίου οἷος κατέστη δι᾽ ἔπαρσιν· ὅπερ μὴ πάθῃς αὐτός, μεγάλα σεαυτῷ φανταζόμενος, ἀλλ᾽ ἔχων σεαυ-

ἱεροτελεστία τῶν θείων [μυστηρίων], τὴν ὁποία σέβονται καὶ οἱ Ἄγγελοι καὶ πολλοὶ ἀπὸ τοὺς Ἁγίους, [ἐπειδὴ ἐσέβοντο τὴν θεία Ἱερουργία], ὡς ἀκήρατη [ἀνέγγιχτη], ἀποσύρθηκαν [ἔπαυσαν, δηλαδή, νὰ τὴν τελοῦν] ἀπὸ πολλὴ εὐλάβεια. [Ἐὰν δὲν ἔλαβες ἀποκάλυψι ἀπὸ τὸ Ἅγιο Πνεῦμα, μὴν τολμᾷς νὰ τὴν τελῇς], μήπως τυχόν, ὅπως ὁ Ὀζὰ ἐκεῖνος[α], ἐξολοθρευθῇς μὲ τὴν ἰδέα τοῦ ἀγαθοῦ, [ὅτι κάνεις δῆθεν κάτι καλό].

15. Σύμφωνα μ᾽ ἐκεῖνον, ὁ ὁποῖος εἶπε: πρόσεχε τὸν ἑαυτόν σου, [κάνε ὡς ἑξῆς]: πάντοτε νὰ προσκομίζῃς [τὰ Τίμια Δῶρα], πρῶτα ὑπὲρ τῶν δικῶν σου ἁμαρτιῶν, ὥστε καὶ ἐὰν [ὑπῆρχε] σὲ σένα πρόσφατα κάποιο [μικρὸ πάθος] ἢ ἴσως γεννᾶται ἐντός σου, ἀπὸ ἀδυναμία, [κάτι] ἀκάθαρτο, νὰ ἐξαλείφεται μὲ τὸ θεῖον πῦρ. Διότι ἔτσι, ὡς σκεῦος ἐκλογῆς εὔχρηστο καὶ καθαρὸ καὶ ἄξιο γιὰ [ἕνα] τέτοιο θῦμα, θὰ μποροῦσες, ἐὰν καὶ κάποια [ἄλλα σκεύη] ἦσαν ξύλινα καὶ ὀστράκινα, νὰ [τὰ] μεταβάλλῃς στὴν φύσι τοῦ ἀργύρου ἢ ἀκόμη τοῦ χρυσοῦ, [δηλαδή, κάποιους ἄλλους ἀνθρώπους νὰ τοὺς ἀλλοιώσῃς, μὲ προϋπόθεσι], μόνον, ἐὰν θὰ ἔχῃς, ἕνεκα τῆς παρρησίας [σου], τὸν Θεὸ νὰ συγκατανεύῃ [στην δέησί σου]. Διότι, ὅπου ὁ Θεὸς [εἶναι] ἕτοιμος γιὰ ὑπακοή, [γιὰ νὰ ἐπακούσῃ], κανένα ἐμπόδιο [δὲν ὑφίσταται] γιὰ τὴν μεταβολὴ ἀπὸ ἐκεῖνα [ἀπὸ ξύλινα καὶ ὀστράκινα] σὲ αὐτά, [δηλαδή, σὲ ἀργυρὰ καὶ χρυσά].

16. Παρατήρησε δέ, πόσης τιμῆς ἰσαγγέλου καταξιώθηκες, καὶ φρόντιζε νὰ παραμείνῃς ἀνέπαφος στὸν βαθμὸ [τῆς Ἱερωσύνης], στὸν ὁποῖο ἐκλήθης, μὲ κάθε ἀρετὴ καὶ καθαρότητα. Διότι γνωρίζεις τὸν Ἑωσφόρο, ὁ ὁποῖος ἐξέπεσε, ἀπὸ ποιὸ [ἀγγελικὸ ἀξίωμα ἔπεσε καὶ] ποῖος κατεστάθη, ἕνεκα ὑπερηφανίας· τὸ ὁποῖο [πρόσεξε] μὴν πάθῃς ἐσὺ ὁ ἴδιος, ἔχοντας μεγάλη ἰδέα γιὰ τὸν ἑαυτόν σου ἀλλὰ νὰ θεωρῇς τὸν ἑαυτόν

τὸν γῆν καὶ σποδόν[15]*, καὶ κάθαρμα, καὶ κύνα τινα, καὶ θρήνει διαπαντός, ὅτι ὅλως ἀξιοῦσαι εἰς κοινωνίαν θείαν, καὶ συγγένειαν προκαλεῖσθαι, διὰ τῆς τῶν ἁγίων μεταχειρίσεως τῆς φρικτῆς ἱεροτελεστίας, φιλανθρωπίᾳ ἀποῤῥήτῳ Θεοῦ καὶ ἀφάτῳ χρηστότητι.*

ιζ'. Τὸν ἱερωμένον, καὶ πάντων μὲν χρὴ καθαρεύειν τῶν παθῶν, ἐξαιρέτως δὲ πορνείας, καὶ μνησικακίας, μηδὲ ψιλὴν ἔχειν φαντασίαν, εἰ μὴ μέλλῃ καθάπερ λελωβημένος ἢ ἀσβόλῃ κεχρισμένος τὰς ὄψεις, σώματος ἁπτόμενος βασιλικοῦ, στυγητὸς εἶναι, καὶ βδελυκτός.

ιη'. Ῥείθροις δακρύων πρότερον ὑπὲρ χιόνα λευκαινόμενος, οὕτω δὴ καὶ λελευκασμένῃ συνειδήσει διὰ καθαρότητος, ἅπτου τῶν ἁγίων, ὡς ἅγιος, τῇ ἐκτὸς ἀγγελομόρφῳ λευχειμοσύνῃ, τὴν ἔνδοθεν ὑπεμφαίνων τῆς ψυχῆς ὡραιότητα. Ὅρα δὲ μὴ πληροφορεῖσθαι ἐν τῇ τῶν θείων τελεταρχίᾳ ταῖς ὑπ᾽ ἀνθρώπων μόνον παραδόσεσιν, ἀλλ᾽ ἔστω σοι καὶ ἡ χάρις κρυπτῶς ἅμα καὶ μυστι-

σου γῆ καὶ σποδὸ καὶ κάθαρμα καὶ ἕνα σκύλο καὶ νὰ θρηνῇς ἀκατάπαυστα, διότι ἀξιώνεσαι, ὁλοκληρωτικά, νὰ προσκαλῆσαι σὲ θεία κοινωνία καὶ [θεία] συγγένεια, διὰ τῆς ἐκτελέσεως μὲ τὰ χέρια σου τῆς φρικτῆς ἱεροτελεστίας τῶν Ἁγίων [μυστηρίων], ἕνεκα τῆς ἀπορρήτου φιλανθρωπίας τοῦ Θεοῦ καὶ τῆς ἀνεκφράστου ἀγαθότητός [Του].

17. Ὁ Ἱερωμένος, πρέπει βέβαια, νὰ εἶναι καθαρὸς ἀπὸ ὅλα τὰ πάθη, ἰδιαιτέρως δέ, [ὅσον ἀφορᾶ τὸ πάθος] τῆς πορνείας καὶ τῆς μνησικακίας, νὰ μὴν ἔχῃ οὔτε ψιλὴ φαντασία, διαφορετικά, πρόκειται νὰ εἶναι ἀποτρόπαιος καὶ βδελυκτός, ἀκριβῶς σὰν λεπρὸς ἢ λερωμένος στὸ πρόσωπο μὲ καπνιά, ἐνῶ ἐγγίζει τὸ Σῶμα τοῦ Βασιλέως.

18. Μὲ ποταμοὺς δακρύων, προηγουμένως, νὰ λευκαίνεσαι πιὸ πολὺ ἀπὸ τὸ χιόνι καὶ κατ᾽ αὐτὸν τὸν τρόπο μὲ συνείδησι, ποὺ ἔχει γίνει ὁλόλευκη, διὰ τῆς καθαρότητος, νὰ ἐγγίζῃς τὰ Ἅγια, ὡς ἅγιος, μὲ τὴν ἐξωτερικὴ ἀγγελόμορφη λευκότητα [τῶν ἀμφίων σου], ὑποδηλώνοντας τὴν ἐσωτερικὴ ὡραιότητα τῆς ψυχῆς. Πρόσεχε δὲ κατὰ τὴν Ἱερουργία τῶν θείων [Μυστηρίων] νὰ μὴν λαμβάνῃς πληροφορία μόνον ἀπὸ τὶς παραδόσεις τῶν ἀνθρώπων, [δηλαδή, ἀπὸ ἐξωτερικὲς πηγὲς καὶ γνώσεις] ἀλλὰ ἂς ἐνεργῇ σὲ σένα καὶ ἡ [θεία] Χάρις κρυπτῶς, συγχρόνως καὶ μυστικὰ [στὸ βάθος, δηλαδή,

κῶς τὰ ὑψηλότερα συνετίζουσα.

ιθ΄. Ἀφθαρσίας ἐρῶν καὶ ἀθανασίας, σεβασμίως, καὶ εὐλαβῶς πίστει μέτελθε τὰ ζωοποιά, καὶ μὴ φθειρόμενα· ἱμειρόμενος καὶ τῆς ἐντεῦθεν ἐκδημίας, ὡς τετελειωμένος διὰ τῆς πίστεως. Εἰ δὲ δεδίττῃ θάνατον, οὔπω ἀνεκράθης διὰ τῆς ἀγάπης Χριστῷ, ὃν κατηξιώθης αὐτόχειρ θύειν, καὶ οὗπερ ἐμφορῇ τῶν σαρκῶν. Ἢ γὰρ ἄν, ἔσπευδες ἀπελθεῖν ὅπουπερ ὁ φιλούμενος, τῆς ζωῆς τε καὶ τῆς σαρκὸς μηδένα λοιπὸν λόγον ποιούμενος.

κ΄. Σαρκὸς Θεοῦ, καὶ θύτης γεγενημένος, καὶ κοινωνὸς διὰ τῆς μεταλήψεως, σύμφυτος γενέσθαι καὶ τῷ τοῦ θανάτου αὐτοῦ ὁμοιώματι[16] *κεχρεώστηκας, μηκέτι ζῶν ἑαυτῷ*[17]*, κατὰ τὸν Ἀπόστολον, ἀλλὰ τῷ ὑπὲρ σοῦ σταυρωθέντι, καὶ ἀποθανόντι. Εἰ δὲ σαρκί, καὶ κόσμῳ ζῇς ἐμπαθῶς, εὐτρεπίζου διὰ θανάτου, πρὸς τιμωρίαν ἀθάνατον, εἰ μὴ στῇς ἑκουσίως πρὸ τελευτῆς τῆς ἀναιμάκτου θυσίας. Πλὴν ὅτι πολλοὶ κἀνταῦθα τῶν ἀναξίως ἱερουρ-*

τῆς καρδίας σου], ὥστε νὰ σὲ φωτίζῃ στὰ ὑψηλότερα.

19. Ἐὰν ἐπιθυμῇς τὴν ἀφθαρσία καὶ τὴν ἀθανασία, μὲ σεβασμὸ καὶ εὐλάβεια καὶ πίστι νὰ πλησιάσῃς τὰ ζωοποιὰ καὶ Ἀθάνατα [μυστήρια]· ποθώντας σφοδρὰ καὶ τὴν ἐκδημία [ἀπὸ τὴν παροῦσα ζωή], ἀφοῦ ἔχεις ἤδη τελειωθῆ μὲ τὴν πίστι. Ἐάν, ὅμως, φοβᾶσαι τὸν θάνατο, ἀκόμη δὲν ἑνώθηκες, [δὲν ἔγινες ἕνα] μὲ τὸν Χριστό, διὰ τῆς ἀγάπης, τὸν Ὁποῖον καταξιώθηκες νὰ [τὸν] θυσιάζῃς μὲ τὰ ἴδια σου τὰ χέρια καὶ μὲ τοῦ Ὁποίου τὶς σάρκες χορταίνεις. Διαφορετικά, θὰ ἔσπευδες νὰ φύγῃς, νὰ πᾷς ἐκεῖ, ὅπου [εἶναι] ὁ Ἀγαπημένος [σου], καὶ δὲν θὰ ὑπολόγιζες πλέον καθόλου τὴν ζωὴ καὶ τὴν σάρκα.

20. Ἀφοῦ ἔχεις γίνει θύτης τῆς Σαρκὸς τοῦ Θεοῦ [ἀλλὰ] καὶ κοινωνὸς [αὐτῆς], διὰ τῆς μεταλήψεως, ἔχεις χρέος νὰ γίνῃς σύμφυτος καὶ μὲ τὸ ὁμοίωμα τοῦ θανάτου Του. Ὥστε νὰ μὴν ζῇς γιὰ τὸν ἑαυτόν σου, σύμφωνα μὲ τὸν Ἀπόστολο, ἀλλὰ γιὰ Ἐκεῖνον, ὁ ὁποῖος σταυρώθηκε καὶ ἀπέθανε γιὰ σένα. Ἐὰν ὅμως ζῇς ἐμπαθῶς, γιὰ τὴν σάρκα καὶ τὸν κόσμο, [τότε] νὰ προπαρασκευάζεσαι γιὰ τὴν ἀθάνατη τιμωρία, [στὴν ὁποία θὰ φθάσῃς], διὰ μέσῳ τοῦ θανάτου, ἐὰν δὲν ἀπέχῃς θεληματικὰ ἀπὸ τὴν ἀναίμακτο θυσία πρὸ τοῦ θανάτου σου. Ἐκτὸς [τοῦ] ὅτι καὶ ἀπ᾽ ἐδῶ, πολλοὶ ἀπὸ ἐκείνους, οἱ ὁποῖοι ἱερουργοῦσαν ἀναξίως,

γούντων, αἰφνιδίῳ ἀναρπασθέντες θανάτῳ, τοῖς ἐκεῖσε παρεπέμφθησαν δικαιωτηρίοις.

κα΄. Ἱερεὺς γάρ τις ἐνταυτῷ ἅμα, καὶ Μοναχός, εὐλαβείας δόξαν ἔχων, καὶ πολλοῖς τῆς ἔξωθεν ἐπιφανείας τίμιος νομιζόμενος, ἔνδοθεν δὲ κρυπτῶς λαγνεύων, καὶ μολυνόμενος, τὴν θείαν καὶ ἱερὰν ἐπιτελῶν λατρείαν, ἐπεὶ τῇ τοῦ χερουβικοῦ προσήγγισεν ὑμνῳδίᾳ τὸν αὐχένα ὑποκλίνας, ὡς σύνηθες, ἐπίπροσθεν τῆς ἁγίας τραπέζης, καὶ τὸ οὐδεὶς ἄξιος ἐπαναγινώσκων, ἐξαίφνης εὑρέθη νεκρός, ἐπὶ τοιούτου σχήματος καταλιπούσης αὐτὸν τῆς ψυχῆς.

κβ΄. Λόγου ὀρθοῦ, καὶ γνώσεως οὐδὲν προυργιαίτερον. Ἐντεῦθεν γὰρ προσγίνεται ὁ εἰς Θεὸν φόβος καὶ πόθος· ὁ μὲν καθαίρων δι᾽ εὐλαβείας καὶ συστολῆς, ὁ δὲ τελειοποιῶν διὰ φωτιστικῆς ἕξεώς τε καὶ διακρίσεως, καὶ τὸν νοῦν μετεωροπόρον ἀπεργαζόμενος δι᾽ ὑψηλῆς θεωρίας καὶ ἀναβάσεως. Ἀμήχανον δέ, φόβου χωρίς, πρὸς τὸν θεῖον ἔρωτα διαπορθμευ-

ἀφοῦ ἀποσπάστηκαν [ἀπὸ τὴν παροῦσα ζωὴ] μὲ αἰφνίδιο θάνατο, ὁδηγήθηκαν στὶς ἐκεῖ [τῆς μελλούσης ζωῆς] δίκαιες τιμωρίες.

21. Διότι, κάποιος Ἱερέας ὁμοίως συνάμα καὶ Μοναχός, ὁ ὁποῖος εἶχε φήμη εὐλαβείας καὶ ἐθεωρεῖτο ἀπὸ πολλούς τίμιος, ἕνεκα τῆς ἐξωτερικῆς παρουσίας [του], μέσα [του] ὅμως κρυφὰ [μὲ τοὺς λογισμούς του] ἔπιπτε στὴν λαγνεία καὶ ἐμολύνετο. [Αὐτός], ἐνῶ ἐπιτελοῦσε τὴν Θεία καὶ Ἱερὰ Λατρεία, ὅταν πλησίασε στὴν ὑμνωδία τοῦ Χερουβικοῦ, ἀφοῦ ὑπέκλινε, κατὰ τὴν τάξι, τὸν αὐχένα μπροστὰ ἀπὸ τὴν Ἁγία Τράπεζα καὶ ἀνεγίνωσκε τὸ «Οὐδεὶς ἄξιος...», ξαφνικά, βρέθηκε νεκρός, ἀφήνοντάς τον ἡ ψυχή [του], σὲ τέτοια ἀκριβῶς θέσι.

22. Τίποτε δὲν [εἶναι] σπουδαιότερο ἀπὸ τὸν ὀρθὸ λόγο, [τὸν σωστό, τὸν γνωστικὸ λόγο] καὶ τὴν [θεία] γνῶσι. Διότι ἀπὸ ἐκεῖ [ἀπ᾽ αὐτὰ] δημιουργεῖται ὁ φόβος καὶ ὁ πόθος γιὰ τὸν Θεό. Ὁ μὲν [φόβος] καθαρίζει [τὴν ψυχή], διὰ τῆς εὐλαβείας καὶ συστολῆς, ὁ δὲ [πόθος] τελειοποιεῖ [τὸν ἄνθρωπο], διὰ τῆς φωτιστικῆς καταστάσεως καὶ ἐπιπλέον τῆς διακρίσεως· [τοῦ δίδει, δηλαδή, τὴν δυνατότητα νὰ ἀπολαμβάνῃ τὴν κατάστασι τοῦ Φωτὸς ἀπὸ τώρα καὶ τοῦ χαρίζει τὴν διάκρισι]. Ἐπίσης [ὁ πόθος γιὰ τὸν Θεό] ἀπεργάζεται τὸν νοῦ ὑψιπέτη, διὰ τῆς ὑψηλῆς θεωρίας καὶ ἀναβάσεως. [Εἶναι] ἀδύνατο δέ, χωρὶς τὸν [θεῖο] φόβο, νὰ διαπεράσῃ πρὸς τὸν θεῖο ἔρω-

θῆναι, καὶ δι᾽ αἰτοῦ [recte: αὐτοῦ] πετάσαι καὶ καταπαῦσαι πρὸς τὰ ἐλπιζόμενα.

κγ΄. Ἄγε δὴ ἐμοὶ πειθόμενος, ὁ τῆς σωτηρίας διακαῶς καὶ ἀναστοχήτως [addendum: ἐπιποθῶν], ἕως οὗ καταλάβῃς τρέχε, ζητῶν ἐμπόνως, αἰτῶν ἀπαύστως, καὶ κρούων[18] *ὑπομονητικῶς, ἕως ἐπιτύχῃς· ὑποβάθραν, πίστιν στερεὰν πηξάμενος, καὶ ταπείνωσιν· τότε δὲ κατέλαβες τὸ ποθούμενον, οὐχ ὅταν ἀφέσεως ἁμαρτιῶν μόνον τεύξῃ ἀλλ᾽ ὅταν οὐκ ἔτι πτοῇ οὐδὲ δέδοικας πάθους τινὸς ἐπανάστασιν, ἀφόβως καὶ μετὰ παῤῥησίας τῆς σαρκὸς χωριζόμενος.*

κδ΄. Ζήτει πληροφορίαν λαβεῖν μετὰ πολλῶν δακρύων. Πλὴν μὴ πρὸ τελευτῆς, εἰ ταπεινόφρων εἴῃς, μήπως εἰς τὸ ἑξῆς ὡς ἀμεριμνήσας καταφρονήσῃς· ἀλλὰ τότε πλησίον εὑρεῖν ἐξόδου, πλὴν ἀναστόχητον, ἵνα μὴ θαῤῥήσας ἔχειν χλευαστικῶς ἐξ οἰήσεως, ἀστοχήσῃς τοῦ ἐφετοῦ, τοῦ ἐλπιζομένου τότε καταλαβόντος καιροῦ. Καὶ ποῦ πορεύσῃ, ταλαίπωρε, ἀῤῥαβῶνος χωρίς, καὶ τῆς σῳζού-

τα καὶ μέσῳ αὐτοῦ νὰ πετάξῃ καὶ νὰ βρῇ κατάπαυσι σὲ ἐκεῖνα, ποὺ ἐλπίζει.

23. Ἔλα, λοιπόν, [ἐσύ], ὁ ὁποῖος ἐπιθυμεῖς διακαῶς καὶ δίχως ἀστοχία, [δηλαδή, ἀναμφίβολη] τὴν σωτηρία [σου], ν᾽ ἀκοῦς ἐμένα: [λοιπόν], ἕως ὅτου [τὴν] κατακτήσῃς, τρέχε, ἀναζητώντας [αὐτὴ] μὲ πολὺ πόνο, ζητώντας την ἀκατάπαυστα καὶ κρούοντας ὑπομονετικά, ἕως ὅτου [τὴν] ἐπιτύχῃς. Ὡς βάθρο νὰ βάλῃς ἀκλόνητη πίστι καὶ ταπείνωσι· καὶ τότε θὰ ἀποκτήσῃς ἐκεῖνο, τὸ ὁποῖο ἐπιθυμεῖς, ὄχι μόνον, ὅταν θὰ ἐπιτύχῃς τὴν ἄφεσι τῶν ἁμαρτιῶν [σου], ἀλλά, ὅταν πλέον δὲν θὰ πτοῆσαι, οὔτε θὰ φοβᾶσαι τὴν ἐξέγερσι κάποιου πάθους καὶ ὅταν, χωρὶς φόβο καὶ μὲ παρρησία [πρὸς τὸν Ἅγιο Θεό], χωρίζεσαι ἀπὸ τὸ σῶμα.

24. Νὰ ζητᾷς [ἀπὸ τὸν Θεό], μετὰ πολλῶν δακρύων, νὰ λάβῃς πληροφορία [γιὰ τὴν σωτηρία σου]. Ὅμως, ὄχι πρὸ τοῦ θανάτου [σου], ἐὰν ἤθελες εἶσαι ταπεινόφρων, μήπως τυχὸν στὸ ἑξῆς μὲ τὸ νὰ γίνῃς ἀμέριμνος [γιὰ τὴν σωτηρία σου], συμπεριφερθῇς ὑπεροπτικά. Ἀλλὰ τότε [νὰ ζητᾷς] νὰ εὕρῃς [τὴν πληροφορία, δηλαδή, στὸν καιρὸ] πλησίον τῆς ἐξόδου [σου], πλὴν [νὰ εἶναι] βεβαία, ὥστε νὰ μὴν λάβῃς θάρρος, [ὅτι ἐπέτυχες τὴν σωτηρία σου] ἐμπαικτικὰ ἀπὸ τὴν ἔπαρσι [καὶ ἔτσι] δὲν ἐπιτύχῃς τὸ ἐπιθυμητό, τὸ ὁποῖο ἐλπίζομε, τότε, ὅταν φθάσῃ ὁ καιρὸς [τῆς ἐξόδου μας]. Καὶ ποῦ θὰ πᾷς, ταλαίπωρε, χωρὶς τὸν ἀρραβῶνα καὶ [χωρὶς] τὴν ἀναμφίβολη πληρο-

σης ἀναμφιβόλου πληροφορίας διδομένης διὰ τοῦ πνεύματος;

κε΄. Ἀπαθείας ἐρῶν τῆς θεοποιοῦ, δι᾽ ὑπακοῆς πρῶτον, καὶ ταπεινώσεως εὑρὲ τὸ ποθούμενον, ἵνα μὴ δι᾽ ἄλλης ὁδεύσας, κόπους σεαυτῷ προξενήσῃς. Ἀπάθειαν δὲ κέκτηται, οὐχ ὁ ποτὲ μὲν ὑπὸ τῶν παθῶν παρενοχλούμενος, ποτὲ δὲ ἠρεμῶν καὶ ἀναπαυόμενος, ἀλλ᾽ ὁ διηνεκῶς ἐντρυφῶν τῇ ἀπαθείᾳ, καὶ τῶν αἰτιῶν, παρόντων τῶν παθῶν, μένων ἀκίνητος. Ἐξαιρέτως δὲ καὶ ὁ μὴ πάσχων πρὸς τὰ τούτων νοήματα.

κς΄. Μαχόμενος καὶ ὀνειδίζων, μετὰ θράσους ἐπέρχεται ὁ ἐχθρὸς τῇ ψυχῇ ἐξελθούσῃ τοῦ σώματος, κατήγορος γινόμενος πικρός τε καὶ φοβερὸς ἐπὶ τοῖς ἐπταισμένοις. Ἀλλ᾽ ἔστιν ἰδεῖν τότε τὴν φιλόθεον ψυχήν, κἂν πολλαῖς τὸ πρὶν πολλάκις ἐτρώθη ἁμαρτίαις, οὐ καταπληττομένην τὰς ἐκείνου ὁρμὰς καὶ ἀπειλάς· ἀλλὰ μᾶλλον νευρουμένην ἐν Κυρίῳ, καὶ πτερουμένην ἐν χαρᾷ θαρσοποιουμένην τε ταῖς ὁδηγούσαις ἁγίαις δυνάμε-

φορία, ἡ ὁποία σώζει, ὅταν χορηγῆται ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα;

25. Ἐὰν ποθῇς τὴν θεοποιὸ ἀπάθεια, κατ᾽ ἀρχὰς νὰ εὕρῃς ἐκεῖνο, τὸ ὁποῖο ποθεῖς, διὰ τῆς ὑπακοῆς καὶ τῆς ταπεινώσεως, γιὰ νὰ μὴν προχωρήσῃς, διὰ μέσου ἄλλης ὁδοῦ, [δηλαδή, ἄλλου τρόπου ἀσκήσεως καὶ] προκαλέσῃς [περιττοὺς] κόπους στὸν ἑαυτόν σου. Ἀπάθεια, βέβαια, ἔχει ἀποκτήσει, ὄχι ἐκεῖνος, ὁ ὁποῖος κάποτε μὲν ἐνοχλεῖται ἀπὸ τὰ πάθη, κάποτε δὲ ἠρεμεῖ [ἀπὸ τὶς ἐνοχλήσεις τους] καὶ ἀναπαύεται, ἀλλά, ἐκεῖνος, ποὺ συνεχῶς ἐντρυφᾶ στὴν ἀπάθεια, καὶ παρ᾽ ὅτι [εἶναι] παρόντα τὰ πάθη καὶ οἱ αἰτίες [τους], ἐκεῖνος μένει ἀσάλευτος [ἀπὸ τὶς προκλήσεις τους]. Ἰδίως δὲ [ἔχει ἀπάθεια] καὶ αὐτός, ποὺ δὲν πειράζεται, [οὔτε] ἀπὸ τοὺς λογισμοὺς αὐτῶν [τῶν παθῶν].

26. Ὁ ἐχθρὸς ἐπιτίθεται μετὰ θράσους στὴν ψυχή, πολεμώντας καὶ ὀνειδίζοντας, συνήθως, ὅταν ἐξέρχεται ἀπὸ τὸ σῶμα, [καὶ] γίνεται πικρὸς καὶ φοβερὸς κατήγορός [της], γιὰ ἐκεῖνα, στὰ ὁποῖα ἔχει πταίσει. Ἀλλά, εἶναι [δυνατόν], νὰ δῇ τότε [κάποιος] τὴν φιλόθεη ψυχὴ [αὐτὴ τὴν ψυχή, ποὺ ἀγαπᾶ τὸν Θεό], ἔστω καὶ ἂν στὸ παρελθὸν πολλὲς φορὲς πληγώθηκε μὲ πολλὲς ἁμαρτίες, νὰ μὴν σαστίζῃ στὶς σφοδρὲς προσβολὲς καὶ ἀπειλὲς ἐκείνου, ἀλλὰ περισσότερο νὰ δυναμώνεται ἐν Κυρίῳ καὶ νὰ ἐμψυχώνεται μὲ χαρὰ καὶ νὰ ἐνθαρρύνεται ἀπὸ τὶς Ἅγιες [Ἀγγελικὲς] Δυνάμεις, οἱ ὁποῖες [τὴν] ὁδηγοῦν

σι, καὶ περιτειχιζομένην τῷ φωτὶ τῆς πίστεως, καὶ ἀντικράζουσαν μετὰ πολλῆς παῤῥησίας τῷ πονηρῷ· τί σοί, καὶ ἡμῖν, δραπέτα τῶν οὐρανῶν καὶ δοῦλε πονηρέ; οὐκ ἔχεις σὺ τὴν ἐξουσίαν καθ᾽ ἡμῶν. Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἡμῶν τε, καὶ πάντων ἔχει τὴν ἐξουσίαν· αὐτῷ ἡμάρτομεν, αὐτῷ καὶ ἀπολογησόμεθα· ἐνέχυρον ἔχοντες τῆς [addendum: πρὸς] ἡμᾶς εὐσπλαχνίας καὶ σωτηρίας, τὸν τούτου τίμιον σταυρόν. Σὺ δὲ φεῦγε μακρὰν ἀφ᾽ ἡμῶν, ὀλέθριε· μηδέν σοι, καὶ τοῖς δούλοις τοῦ Χριστοῦ. Ταῦτα λεγούσης τῆς ψυχῆς μετὰ θάρσους, νῶτα λοιπὸν δίδωσιν ὁ διάβολος, βοαῖς ὀδυρόμενος, μὴ δυνηθεὶς ἀντιστῆναι τῷ τοῦ Χριστοῦ ὀνόματι. Ὑπεράνω δὲ τυγχάνουσα ἡ ψυχή, καθίπταται τοῦ ἐχθροῦ, κολαφίζουσα αὐτὸν ὥς περ ὁ λεγόμενος ὀξύπτερος τὸν κόρακα. Καὶ μετὰ ταῦτα ὑπὸ τῶν θείων Ἀγγέλων διακομίζεται ἀγαλλιωμένη εἰς τοὺς ὡρισμένους τόπους αὐτῇ κατὰ τὴν αὐτῆς κατάστασιν.

κζ΄. Ῥεόντων πόθος οὐ καθελκύσει σε πρὸς τὴν γῆν,

καὶ τὴν περιτειχίζουν μὲ τὸ φῶς τῆς πίστεως. Καὶ [βλέπει κανεὶς] νὰ κραυγάζῃ ἐναντίον τοῦ πονηροῦ, μὲ πολλὴ παρρησία· τί [κοινὸ ὑπάρχει ἀνάμεσα] σὲ σένα καὶ σὲ μᾶς, δραπέτη τῶν οὐρανῶν καὶ δοῦλε πονηρέ; Δὲν ἔχεις ἐσὺ τὴν ἐξουσία ἐναντίον μας. [Ἀλλὰ] ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἔχει τὴν ἐξουσία καὶ τὴν δική μας καὶ ὅλων. Σ᾽ Αὐτὸν ἁμαρτήσαμε, σ᾽ Αὐτὸν καὶ θὰ ἀπολογηθοῦμε· ἔχοντας, ὡς ἐγγύηση τῆς εὐσπλαχνίας [Του] πρὸς ἐμᾶς καὶ τῆς σωτηρίας [μας], τὸν Τίμιο Σταυρό Του. Σὺ δὲ νὰ φεύγῃς μακριὰ ἀπὸ μᾶς ὀλέθριε· τίποτε δὲν [ὑπάρχει κοινὸ ἀνάμεσα] σὲ σένα καὶ στοὺς δούλους τοῦ Χριστοῦ. [Καὶ] ἐνῶ λέγει αὐτὰ μετὰ θάρρους ἡ ψυχή, ὁ διάβολος στρέφει κατόπιν τὰ νῶτα, ὀδυρόμενος μὲ φωνές, διότι δὲν μπόρεσε νὰ ἀντισταθῇ στὸ Ὄνομα τοῦ Χριστοῦ, [ποὺ ἄκουσε. Ὡς ἐκ τούτου], βέβαια, καθὼς εὑρίσκεται ἡ ψυχὴ ὑπεράνω, [σὲ πλεονεκτικὴ θέσι, ἔναντι τοῦ πονηροῦ] πετᾶ πρὸς τὰ κάτω ἐναντίον τοῦ ἐχθροῦ, ραπίζοντας αὐτόν, ὅπως ἀκριβῶς [τὸ πτηνό], τὸ ὁποῖο λέγεται ὀξύπτερος, [κτυπᾶ] τὸν κόρακα. Καὶ μετὰ ἀπὸ αὐτὰ πλήρης ἀγαλλιάσεως μεταφέρεται ἀπὸ τοὺς θείους Ἀγγέλους στοὺς τόπους, ποὺ ἔχουν ὁρισθῆ γι᾽ αὐτήν, σύμφωνα μὲ τὴν [πνευματική] κατάστασί της.

27. Ὁ πόθος τῶν φθαρτῶν δὲ θὰ δυνηθῇ νὰ σὲ σύρῃ κάτω πρὸς τὴν γῆ,

τὰ οὐράνια φανταζόμενον. Εἰ δέ τις σε προσπάθεια τῶν γηΐνων πρὸς ἑαυτὴν δεσμεύει, ἔοικας ἀετῷ κατεχομένῳ ἐν παγίδι ὑπὸ τοῦ ὄνυχος, καὶ κωλυωμένῳ τὴν ὑψιπέτησιν. Ἔχε οὖν πάντα, καὶ ἡγοῦ σκύβαλα[19], ἐλπίδι τῶν ἀμεινόνων. Ἀλλὰ καὶ αὐτὸ τὸ σαρκίον, καιροῦ καλοῦντος, ἀποτιναξάμενος, ἀκολούθει ἐκσπῶντί σε τῷ Ἀγγέλῳ τοῦ Θεοῦ.

κη΄. Ὥς περ ἀμήχανον τὸ μὴ ἔχον νόμισμα χαρακτῆρα βασιλικόν, εἰς θησαυροὺς βασιλικοὺς μετὰ τῶν συνήθων καταταγῆναι, οὕτως ἀδύνατον γνώσεως ὀρθῆς ἄτερ καὶ ἀπαθείας, δέξασθαι ἀῤῥαβῶνα τῆς ἐκεῖθεν μακαριότητος, καὶ μετὰ παῤῥησίας ἐξελθεῖν, καὶ πληροφορίας ἀπὸ τῶν ὧδε πρὸς τὰ ἐλπιζόμενα, καὶ συνταγῆναι μετὰ τῶν ἐκλεκτῶν. Γνῶσιν δέ φημι οὐ σοφίαν, ἀλλὰ τὴν ἀπλανῆ Θεοῦ, καὶ τῶν θείων εἴδησιν. Δι᾽ ὧν ὁ φιλόθεος ὑψοῦται, μὴ καθελκόμενος ὑπὸ τῶν παθῶν, πρὸς ἐνθέωσιν, τῇ τοῦ Πνεύματος χάριτι.

κθ΄. Κἂν πᾶσαν τὴν πρακτι-

ἐὰν λογίζεσαι τὰ οὐράνια. Ἐάν, ὅμως, κάποια προσπάθεια [ἐμπαθὴς προσκόλλησι] πρὸς τὰ γήϊνα σὲ κρατᾷ δέσμιο πρὸς αὐτήν, μοιάζεις μὲ [ἕναν] ἀετό, ὁ ὁποῖος κρατεῖται ἀπὸ τὸ νύχι στὴν παγίδα καὶ ἐμποδίζεται στὸ ψηλὸ πέταγμα. Ὅλα, λοιπόν, νὰ τὰ λογαριάζῃς καὶ νὰ τὰ θεωρῇς σκύβαλα, μὲ τὴν ἐλπίδα, [ὅτι θὰ ἀπολαύσῃς] τὰ καλλίτερα. Ἀλλὰ καὶ τὸ ἴδιο τὸ σῶμα [σου], ὅταν φθάσῃ ὁ καιρός, ἀφοῦ τὸ ἀποτινάξῃς, ἀκολούθησε τὸν Ἄγγελο τοῦ Θεοῦ, ὁ ὁποῖος σὲ ἀποσπᾷ ἀπ᾽ αὐτό.

28. Ὅπως ἀκριβῶς [εἶναι] ἀδύνατον τὸ νόμισμα, τὸ ὁποῖο δὲν ἔχει εἰκόνα τοῦ Βασιλέως [χαραγμένη], νὰ συμπεριληφθῇ, μαζὶ μὲ τὰ συνήθη [τὰ νόμιμα], στὸ βασιλικὸ θησαυροφυλάκιο, ἔτσι [εἶναι] ἀδύνατον, χωρὶς τὴν ὀρθὴ [τὴν θεία] γνῶσι καὶ τὴν ἀπάθεια, νὰ δεχθῇ [κάποιος] τὸν ἀρραβῶνα τῆς ἐκεῖθεν [τῆς αἰωνίας] μακαριότητος καὶ νὰ ἐξέλθῃ, μετὰ παρρησίας καὶ πληροφορίας [ἐσωτερικῆς γιὰ τὴν σωτηρία του], ἀπὸ τὰ ἐδῶ πράγματα [ἀπὸ τὴν παροῦσα ζωή], πρὸς τὰ ἐλπιζόμενα [πρὸς τὰ μέλλοντα], καὶ νὰ καταταχθῇ μαζὶ μὲ τοὺς ἐκλεκτούς. Γνῶσι, βέβαια, ἐννοῶ ὄχι τὴν [ἀνθρώπινη] σοφία, ἀλλὰ τὴν χωρὶς πλάνη ἐπίγνωσι, περὶ τοῦ Θεοῦ καὶ τῶν θείων. Διὰ μέσου τῶν ὁποίων ὁ φιλόθεος, ἐπειδὴ δὲν σύρεται κάτω ἀπὸ τὰ πάθη, ἀνυψώνεται πρὸς τὴν ἕνωσι μὲ τὸν Θεό, διὰ τῆς Χάριτος τοῦ [Ἁγίου] Πνεύματος.

29. [Ἀκόμη] καὶ ἂν μετέλθῃς ὅλη

κὴν μετέλθῃς, μὴ δ᾽ οὕτω θαρρήσῃς ἑαυτῷ, ὅτι πέφθακας εἰς ἀπάθειαν, καὶ ἀμερίμνως ἐμφιλοχωρεῖς τῷ κόσμῳ· μήπως τύπους παθῶν ἐντεῦθεν ἀναμαξάμενος, δυσχέρειαν εὑρήσῃς ἀναχωρῶν. Ἀλλ᾽ ἀείποτε τῷ φόβῳ παιδαγωγούμενος, τῆς τρεπτῆς ἐπιμελοῦ καὶ ἀλλοιουμένης σου φύσεως. Μάκρυνον ἐν σοφίᾳ τῶν αἰτιῶν τῶν παθῶν. Ἡ γὰρ εἰς ἄκρον ἀναλλοίωτος ἀπάθεια, ἐν τοῖς φθάσασίν ἐστι τὴν τελείαν ἀγάπην καὶ διὰ θεωρίας διηνεκοῦς ὑπεραρθεῖσι τῶν αἰσθητῶν, καὶ τὸ σῶμα ὑπεραναβᾶσι τῆς ταπεινώσεως. Ὧν οὐχ ἅπτεται φλὸξ παθῶν ἔτι, διακοπεῖσα τῇ φωνῇ τοῦ Κυρίου[20], διὰ τὸ μεταστοιχειωθῆναι τούτους ἤδη πρὸς ἀφθαρσίαν.

λ΄. Ἀπαθείας ἔρα μὴ πρὸ καιροῦ, ἵνα μὴ πάθῃς ὅπερ ἔπαθεν ὁ πρωτόπλαστος, ἀώρου μεταλαβὼν τοῦ ξύλου τῆς γνώσεως[21]. Ἀλλ᾽ ἐργαζόμενος ἐν ὑπομονῇ διὰ περιεκτικῆς ἐγκρατείας, καὶ ἐκτενοῦς δεήσεως· καὶ φυλάσσων[22] δι᾽ αὐτομεμψίας καὶ ταπεινοφροσύνης ἄκρας

τὴν πρακτικὴ [ἀρετή], μήτε ἔτσι νὰ πάρῃς θάρρος γιὰ τὸν ἑαυτό σου, ὅτι δῆθεν ἔχεις φθάσει στὴν ἀπάθεια καὶ ἀμέριμνα [χωρὶς νὰ εἶσαι νοιασμένος], εὐχαρίστως, εἰσέρχεσαι στὸν κόσμο· μήπως ἀναπλάθοντας ἀπὸ ἐκεῖ, [δηλαδή, ἀπὸ τὸν κόσμο] εἰκόνες τῶν παθῶν, ὅταν θὰ ἀναχωρήσῃς [ἀπὸ τὸν κόσμο] θὰ εὕρῃς δυσκολία. Ἀλλὰ νὰ ἐπιμελῆσαι τὴν φύσι σου, ἡ ὁποία [εἶναι] μεταβλητὴ καὶ ἀλλοιώνεται, μὲ τὸ νὰ παιδαγωγῆσαι πάντοτε ἀπὸ τὸν θεῖο φόβο. Κρατήσου μακριὰ μὲ σοφία, ἀπὸ τὶς αἰτίες τῶν παθῶν. Διότι ἡ εἰς τὸ ἔπακρον ἀναλλοίωτη ἀπάθεια ὑπάρχει σὲ ἐκείνους, ποὺ ἔφθασαν στὴν τελεία ἀγάπη καὶ σ᾽ αὐτούς, οἱ ὁποῖοι ἀνυψώθησαν ἀπὸ τὰ αἰσθητὰ μὲ τὴν ἀδιάλειπτη θεωρία καὶ ὑπερέβησαν τὸ σῶμα, [τὸ ὁποῖο ἔχει τὴν ποιότητα] τῆς ταπεινώσεως, [δηλαδή, τῆς εὐτελείας καὶ ἀδυναμίας]. Αὐτοὺς δὲν [τοὺς] ἀγγίζει πλέον ἡ φλόγα τῶν παθῶν, διότι διεκόπη ἀπὸ τὴν φωνὴ τοῦ Κυρίου, ἕνεκα τοῦ ὅτι ἤδη [ἀπὸ τώρα] αὐτοὶ μετεστοιχειώθησαν πρὸς τὴν ἀφθαρσία.

30. Μὴν ἐπιθυμῇς τὴν ἀπάθεια πρόωρα, γιὰ νὰ μὴν πάθῃς ἐκεῖνο, τὸ ὁποῖο ἔπαθε ὁ πρωτόπλαστος, ἐπειδὴ ἔφαγε, πρὶν τὴν ὥρα του, τὸ ξύλο τῆς γνώσεως. Ἀλλά, ἀφοῦ ἐργάζεσαι μὲ ὑπομονή, διὰ περιεκτικῆς ἐγκρατείας καὶ συνεχοῦς δεήσεως· καὶ ἀφοῦ φυλάσσῃς μὲ αὐτομεμψία καὶ ἄκρα ταπεινοφροσύνη ἐκεῖνα,

τὰ εἰργασμένα, ἐκδέχου μετὰ ταῦτα ἐν καιρῷ εὐθέτῳ τὴν χάριν τῆς ἀπαθείας. Μετὰ τὴν πολλὴν ζάλην καὶ ταραχήν, τὸν λιμένα τῆς ἀναπαύσεως. Οὐ γὰρ ἄδικος ὁ Θεὸς τοῖς ὀρθῶς βαδίζουσι τὴν τῆς ἀπαθείας ἀποκλεῖσαι πύλην ὁπότε δεῖ.

λα΄. Ἴθι πρὸς τὸν μύρμηκα[23]*, τῇ εὐτελείᾳ καὶ οὐθενίᾳ, ὦ ὀκνηρέ, πρὸς τοῦτο σύ, καὶ ἀπείραστε, καὶ μαθήσῃ ἐξ ἐμοῦ [recte: αὐτοῦ], ὅτι τῶν ἀγαθῶν ἡμῶν, οὐ χρείαν ἔχει ὁ Θεὸς ὁ ἀνενδεὴς καὶ ὑπερπλήρης, ἀλλὰ πλουσιοδώρως εὐεργετεῖ, καὶ σῴζει κατὰ χάριν τοὺς προαιρετικοὺς εὐγνώμονας, εἰ καὶ τὴν κατὰ δύναμιν φιλανθρώπως ἀποδέχεται ἐργασίαν. Εἰ μὲν οὖν ὡς ὀφειλέτης κάμῃς, τῶν προϋπαρξάντων ἀγαθῶν πρὸς αὐτοῦ, εὖ ποιεῖς, καὶ πλησίον τὸ θεῖον ἔλεος. Εἰ δὲ χρεώστην νομίζεις ἔχειν Θεόν, δι᾽ ὧν δοκεῖς ἐργάζεσθαι ἀγαθῶν, τῆς εὐθείας ἀπεπλανήθης· πῶς γὰρ χρεώστης ὁ εὐεργέτης; πλὴν καὶ οὕτως τρέχε ὡς μισθωτός, καὶ κατὰ μικρὸν προκόπτων, καταλάβῃς, ἐλέει Θε-*

τὰ ὁποῖα ἔχεις ἐργασθῇ, [δηλαδή, τὶς ἀρετές, ποὺ ἀπέκτησες], μετὰ ἀπ᾽ αὐτά, στὸν κατάλληλο καιρό, περίμενε τὴν Χάρι τῆς ἀπαθείας. Μετὰ ἀπὸ τὴν πολλὴ ζάλη καὶ ταραχὴ [τῶν παθῶν, νὰ ἀναμένῃς] τὸ λιμάνι τῆς ἀναπαύσεως, [τὴν ἀπάθεια]. Διότι ὁ Θεὸς δὲν εἶναι ἄδικος σ᾽ ἐκείνους, ποὺ βαδίζουν [τὴν ζωή τους] σωστά, ὥστε νὰ μὴν ἀνοίξῃ τὴν πύλη τῆς ἀπαθείας, ὅταν πρέπει.

31. Ἐσὺ ὀκνηρέ, γιὰ τοῦτο καὶ ἀδοκίμαστε, πορεύου πρὸς τὸ μυρμήγκι, μὲ τὴν ταπεινότητα καὶ τὴν μηδαμινότητα, [ποὺ τὸ χαρακτηρίζει] καὶ θὰ μάθῃς ἀπὸ ἐκεῖνο, ὅτι ὁ Θεός, ὁ ἀνενδεὴς καὶ ὑπερπλήρης, δὲν ἔχει ἀνάγκη ἀπὸ τὰ ἀγαθά μας, ἀλλὰ πλουσιόδωρα εὐεργετεῖ καὶ σώζει, κατὰ Χάριν, [αὐτούς, ποὺ εἶναι], ὡς πρὸς τὴν προαίρεσι, εὐγνώμονες, ἂν καὶ ἀποδέχεται φιλάνθρωπα τὴν κατὰ δύναμιν ἐργασία. Ἐὰν μὲν ἐργάστηκες, ἐπειδὴ [εἶσαι] ὀφειλέτης γιὰ τὰ ἀγαθά, τὰ ὁποῖα προϋπῆρξαν [δημιουργημένα] ἀπ᾽ Αὐτὸν [τὸν Θεό, γιὰ σένα], καλὰ κάνεις, καὶ [εἶναι] κοντά [σου] τὸ θεῖον ἔλεος. Ἐάν, ὅμως, θεωρῇς, ὅτι ἔχεις τὸν Θεὸ χρεώστη γιὰ ἐκεῖνα τὰ ἀγαθά, τὰ ὁποῖα νομίζεις, ὅτι ἐργάζεσαι, πλανήθηκες ἀπὸ τὴν εὐθεῖα [ὁδό]. Διότι, πῶς [εἶναι δυνατὸν νὰ εἶναι] χρεώστης ὁ εὐεργέτης; Ἀλλὰ καὶ ἔτσι, [ἐὰν εἶναι], τρέχε ὡς μισθωτὸς καὶ λίγο-λίγο προκόπτοντας, θὰ ἐπιτύχῃς, ἀπὸ τὸ ἔλεος τοῦ Θε-

οὗ, τὸ ζητούμενον.

λβ'. Βούλει σοι καὶ ἑτέραν σωτηρίας, μᾶλλον δὲ ἀπαθείας, ὑποδείξω ὁδόν; παραβίαζε τὸν Κτίστην ἐν ταῖς δεήσεσιν, ὅση δύναμις, μὴ ἀστοχῆσαι τοῦ προκειμένου, μεσίτας πρὸς αὐτὸν διαπαντὸς προβαλλόμενος τὰς ἐπουρανίους πάσας δυνάμεις καὶ πάντας ὁμοῦ τοὺς ἁγίους, μετὰ τῆς Πανάγνου καὶ Θεομήτορος. Καὶ ἀπάθειαν μὲν μὴ ζήτει, ὡς ἀνάξιος ταύτης τῆς δωρεᾶς· αἴτει δὲ σωτηρίαν ἐμπόνως καὶ λήψῃ σὺν ταύτῃ καὶ τὴν ἀπάθειαν. Ἡ μὲν γὰρ ἀργυρίῳ, ἡ δὲ χρυσίῳ ἔοικε καθαρῷ. Ἔχε δὲ καὶ κρυπτὴν ὡς μάλιστα ἐργασίαν Θεοῦ θεραπεύτριαν, καί τινων ἀποκρύφων πρὸς αὐτὸν μυστηρίων λόγους θεοποιοῦντάς σε, ἐν οἷς ἥδεται ὁμοῦ τὸ Θεῖον καὶ ἐπικάμπτεται.

λγ'. Ἀγώνισαι τὸν ἀρραβῶνα τῆς σωτηρίας λαβεῖν κρυπτῶς ἔνδον ἐν τῇ καρδίᾳ σου, πληροφορίᾳ ἀνενδοιάστῳ, ἵνα μὴ θρόησιν εὕρῃς, καὶ πτόησιν ἀπροσδόκητον ἐν καιρῷ ἐξόδου. Τότε δὲ ἔλαβες, εἰ μηκέτι ἔχεις καρδίαν

οὗ, τὸ ζητούμενο.

32. Θέλεις νὰ σοῦ ὑποδείξω καὶ ἄλλη ὁδὸ σωτηρίας, μᾶλλον δὲ ἀπαθείας; Νὰ ἐκβιάζῃς τὸν Κτίστη μὲ τὶς δεήσεις, μὲ ὅλη τὴν δύναμί [σου], γιὰ νὰ μὴν ἀστοχήσῃς ἀπὸ τὸ προκείμενο, [δηλαδή, τὴν σωτηρία σου], προβάλλοντας πρὸς Αὐτὸν πάντοτε ὡς μεσίτες, ὅλες τὶς ἐπουράνιες δυνάμεις καὶ ὅλους μαζὶ τοὺς Ἁγίους, μαζὶ μὲ τὴν Πάναγνη Θεομήτορα. Καὶ μὴ ζητᾷς μὲν ἀπάθεια, ὡς ἀνάξιος αὐτῆς τῆς δωρεᾶς. Νὰ ζητᾷς, ὅμως, μὲ πολὺ πόνο τὴν σωτηρία [σου] καὶ θὰ λάβῃς μαζὶ μ᾽ αὐτὴν καὶ τὴν ἀπάθεια. Διότι ἡ μὲν [σωτηρία] μοιάζει μὲ ἀσήμι, ἡ δὲ [ἀπάθεια] μὲ καθαρὸ χρυσό. Νὰ ἔχῃς δὲ καὶ ἐργασία κρυφή, διότι κατ᾽ ἐξοχὴν [αὐτὴ εἶναι] διακονήτρια τοῦ Θεοῦ καὶ [ἐπίσης] λόγους κάποιων ἀποκρύφων μυστηρίων σχετικῶν μ᾽ Αὐτόν, οἱ ὁποῖοι σὲ θεοποιοῦν, μὲ τοὺς ὁποίους εὐχαριστεῖται ὁ Θεὸς καὶ συγχρόνως κάμπτεται.

33. Ἀγωνίσου νὰ λάβῃς τὸν ἀρραβῶνα τῆς σωτηρίας [σου], κρυπτῶς μέσα στὴν καρδία σου, μὲ πληροφορία ἀναμφίβολη, γιὰ νὰ μὴν εὕρῃς ταραχὴ καὶ ἀπροσδόκητο φόβο, κατὰ τὸν καιρὸ τῆς ἐξόδου. Τότε δὲ ἔλαβες [τὸν ἀρραβῶνα], ἐὰν πλέον δὲν σὲ κατηγορῇ

καταγινώσκουσαν ἐν ἐλλείμασι, καὶ τὴν συνείδησιν τύπτουσαν ἐν παροργισμοῖς· εἰ τῶν θηρίων παθῶν ἡ ἀγριότης ἐτιθασσεύθη σοι, θείᾳ χάριτι, εἰ τὸ δάκρυον τῆς παρακλήσεως βρύει, καὶ ὁ νοῦς καθαρῶς καὶ ἀμετεωρίστως προσεύχεται. Καὶ ὁπηνίκα προσηνῶς ἐν ἑτοιμασίᾳ καρδίας ἐκδέχῃ τὸν φευκτὸν τοῖς πολλοῖς ὁμοῦ, καὶ φοβερὸν θάνατον.

λδ΄. Ῥήματα ζωῆς αἰωνίου, ἅπερ ἔχειν ὁ Θεὸς Λόγος ὑπὸ τοῦ τῶν Ἀποστόλων κορυφαίου ἐμαρτυρήθη[24]*, οἱ λόγοι εἰσὶν τῶν ὑπ᾽ αὐτοῦ γεγονότων, οὓς ὁ μυσταγωγούμενος πρὸς αὐτὸν ὡς ἀβέβηλος, ἤδη ἀπεντεῦθεν ἐκτήσατο καὶ τὴν ζωὴν τὴν αἰώνιον, καὶ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, καὶ τὴν ἀκαταίσχυντον ἐλπίδα τῆς σωτηρίας. Οὐ καταξιοῦται δὲ τούτων, ὁ προτιμῶν τῆς ψυχῆς τὴν σάρκα, καὶ προσπάθειαν ἔχων, καὶ σχέσιν πρὸς τὰ ἐπίγεια.*

λε΄. Λογικός, οὐχ ὁ προφορικὸν ἔχων λόγον ἐστι· τοῦτο γὰρ πᾶς ἄνθρωπος· ἀλλ᾽ ὁ διὰ τοῦ λογικοῦ ζητῶν τε,

ἡ καρδία [σου] γιὰ ἐλλείψεις καὶ δὲν σὲ τύπτῃ ἡ συνείδησί [σου] γιὰ παραλογισμούς· [καὶ ἀκόμη], ἐὰν τιθασσεύθηκε σὲ σένα ἡ ἀγριότητα τῶν θηρίων παθῶν, μὲ τὴν θεία Χάρι, ἐὰν ἀναβλύζῃ τὸ δάκρυ τῆς [θείας] παρηγορίας, καὶ [ἐὰν] ὁ νοῦς προσεύχεται καθαρὰ καὶ ἀμετεώριστα. Καὶ ὅταν προσμένῃς μὲ ἑτοιμασία καρδίας, εὐχαρίστως, τὸν θάνατο, [ποὺ] γιὰ τοὺς πολλοὺς [εἶναι] ἀποκρουστικὸς καὶ συγχρόνως φοβερός.

34. Τὰ λόγια τῆς αἰωνίου ζωῆς, γιὰ τὰ ὁποῖα ἀκριβῶς ἐδόθη ἡ μαρτυρία ἀπὸ τὸν κορυφαῖο τῶν Ἀποστόλων [Πέτρο, ὅταν εἶπε: ρήματα ζωῆς αἰωνίου ἔχεις], ὅτι [τὰ] ἔχει ὁ Θεὸς Λόγος, εἶναι οἱ λόγοι τῶν δημιουργημάτων, ποὺ ἔχουν γίνει ἀπ᾽ Αὐτόν, [δηλαδή, οἱ λόγοι τῶν ὄντων]· στοὺς ὁποίους [τοὺς λόγους τῶν ὄντων] ἐκεῖνος, ποὺ μυσταγωγεῖται[2], καθὼς [εἶναι] καθαρὸς ἐν σχέσει πρὸς Αὐτὸν [τὸν Θεὸ Λόγο], ἤδη ἀπὸ ἐδῶ [τὴν παροῦσα ζωή], ἀπέκτησε καὶ τὴν ζωὴ τὴν αἰώνιο καὶ τὸν ἀρραβῶνα τοῦ Πνεύματος καὶ τὴν ἀκαταίσχυντο ἐλπίδα τῆς σωτηρίας. Δὲν καταξιώνεται, βέβαια, αὐτῶν [τῶν δωρεῶν] ἐκεῖνος, ποὺ προτιμᾶ τὴν σάρκα ἀπὸ τὴν ψυχὴ καὶ ἔχει προσπάθεια [προσκόλλησι] καὶ σχέσι μὲ τὰ ἐπίγεια.

35. Λογικὸς δὲν εἶναι ἐκεῖνος, ποὺ ἔχει προφορικὸ λόγο· διότι αὐτὸ [τὸ ἔχει] κάθε ἄνθρωπος· ἀλλὰ [λογικὸς εἶναι] ἐκεῖνος, ὁ ὁποῖος, διὰ τοῦ λογικοῦ, καὶ

καὶ ἀνιχνεύων εὑρεῖν τὸν Θεόν. Εὑρήσει δέ, ὅ,τί ποτε τὴν οὐσίαν ὁ ὑπερούσιος, οὐδαμῶς· πάσῃ γὰρ φύσει τοῦτο ἀμήχανον· ἀλλὰ διὰ τῆς τῶν ὄντων δημιουργικῆς σοφίας, καὶ προνοίας, καὶ διοικήσεως, συνοχῆς τε, καὶ κυβερνήσεως ἅμα, καὶ συντηρήσεως, ἐν οἷς εὑρίσκεται καὶ οἱονεὶ καθορᾶται ὁ ἀριστοτέχνης, καθ᾽ ὅσον τρόπον καὶ οἰκοδόμος, διὰ τοῦ ἔργου τῶν ἰδίων χειρῶν.

λς΄. Ἀκτημοσύνην ὡς δεῖ, ἀπαθείας πάρεξ οὐ κατορθώσεις· οὐδὲ ἀπάθειαν, ἀγάπης χωρίς· οὐδὲ ταύτην ἐκτὸς φόβου, καὶ καθαρᾶς προσευχῆς· οὐδὲ ταῦτα, πίστεως ἄτερ καὶ ἀμεριμνίας, δι᾽ ὧν πτερούμενος ὁ νοῦς, τὸ μὲν χαμαίζηλον ῥίπτει φρόνημα, πέταται δὲ εἰς τὰ ὑψηλά, καὶ μετέωρα, τὸν ἴδιον δεσπότην ἐπιζητῶν.

λζ΄. Ἄσπασαι τὴν ἁγνείαν, ὡς κόρην ὀφθαλμοῦ, ἵνα γένῃ ναὸς Θεοῦ καὶ οἶκος ἐπέραστος. Ἀδύνατον γάρ, σωφροσύνης χωρίς, προσοικειωθῆναι Θεῷ. Τίκτει δὲ ταῦτα πόθος θεῖος, καὶ ἀπροσπάθεια, καὶ κόσμου φυγή·

ἀναζητεῖ καὶ ἐρευνᾶ νὰ εὕρῃ τὸν Θεό. [Καὶ] βέβαια δὲν θὰ εὕρῃ ποτέ, τί [εἶναι] κατὰ τὴν οὐσία ὁ Ὑπερούσιος [Θεός], διότι αὐτὸ [εἶναι] ἀδύνατον σὲ ὅλη τὴν φύσι, [δηλαδή, σὲ ὅλα τὰ δημιουργήματα] ἀλλὰ [θὰ εὕρῃ τὸν Θεὸ μέσα ἀπὸ τὶς ἄκτιστες ἐνέργειές Του, [ὅπως] μέσα ἀπὸ τὴν δημιουργικὴ Σοφία [του] γιὰ τὰ ὄντα, [γιὰ τὴν δημιουργία δηλαδὴ τῶν ὄντων], καὶ μέσα ἀπὸ τὴν Πρόνοια καὶ τὴν διοίκησι καὶ τὴν συνοχὴ καὶ συγχρόνως τὴν κυβέρνησι ἀκόμη καὶ τὴν συντήρησι [τῶν ὄντων], μέσα στὰ ὁποῖα ἀνευρίσκεται καὶ τρόπον τινὰ βλέπεται ὁ Ἀριστοτέχνης, κατὰ τὸν ἴδιο τρόπο, [ποὺ φαίνεται] ὁ οἰκοδόμος ἀπὸ τὰ ἔργα τῶν χειρῶν του.

36. Δὲν δύνασαι νὰ κατορθώσῃς, ὅπως πρέπει, τὴν ἀκτημοσύνη χωρὶς τὴν ἀπάθεια· οὔτε τὴν ἀπάθεια, χωρὶς τὴν ἀγάπη· οὔτε αὐτή, χωρὶς τὸν [θεῖο] φόβο καὶ τὴν καθαρὰ προσευχή· οὔτε αὐτὰ χωρὶς τὴν πίστι καὶ τὴν ἀμεριμνία, διότι μὲ αὐτὰ ὁ νοῦς ἀποκτᾶ πτερά, [καὶ] ἀφ᾽ ἑνὸς μὲν ἀπορρίπτει τὸ χαμαίζηλο φρόνημα, [ἐκεῖνο ποὺ ἐπιθυμεῖ τὰ χαμηλὰ καὶ γήϊνα], ἀφ᾽ ἑτέρου δὲ πετᾶ στὰ ὑψηλὰ καὶ οὐράνια, ἀναζητώντας τὸν Κύριό του.

37. Ἀγάπησε τὴν ἁγνότητα, σὰν κόρη ὀφθαλμοῦ, γιὰ νὰ γίνῃς ναὸς τοῦ Θεοῦ καὶ οἶκος [του] πολὺ ἀγαπητός. Διότι εἶναι ἀδύνατον, χωρὶς σωφροσύνη, νὰ γίνῃς οἰκεῖος μὲ τὸν Θεό. Αὐτὰ δὲ τὰ γεννᾶ ὁ θεῖος πόθος καὶ ἡ ἀπροσπάθεια [ἡ ἔλλειψι ἐμπαθοῦς προσκολλήσεως] καὶ ἡ φυγὴ ἀπὸ τὸν κόσμο·

συντηρεῖ δὲ ταπεινοφροσύνη ὁμοῦ, καὶ ἐγκράτεια, προσευχὴ διηνεκής, καὶ θεωρία πνευματική, καὶ σὺν ἀοργησίᾳ, ἐκτενὲς δάκρυον. Τοῦ δὲ κάλλους τῆς διακρίσεως, ἀπαθείας πάρεξ, οὐκ ἐπιτεύξῃ.

λη΄. Μηδείς σε ἀπατήσῃ, ἀδελφέ, ὅτι, πλὴν ἁγιασμοῦ, κατὰ τὸν Ἀπόστολον, καθορᾶται Θεός[25]*. Οὐ γὰρ καταδέχεται Κύριος, ὁ ὑπέραγνος, καὶ πάσης καθαρότητος ὑπερκείμενος, ἀκαθάρτῳ ἐμφανισθῆναι. Ὡς γὰρ ἀνάξιος αὐτοῦ ὁ πατέρα, καὶ μητέρα ὑπὲρ τοῦτον φιλῶν, ἢ αὖθις θυγατέρα, καὶ υἱόν*[26]*, οὕτω καὶ ὅ,τί ποτε τῶν προσκαίρων καὶ ὑλικῶν. Καὶ πολλῷ πλέον, ὁ τὴν βδελυράν, καὶ δυσώδη προτιμῶν ἁμαρτίαν, τῆς ἀγάπης Κυρίου· ἀποσείεται γὰρ [addendum: τὸν] μὴ ἀποστρεφόμενον τὴν ῥυπαρίαν Θεός· ὅτι μὴ δ᾽ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ*[27]*.*

λθ΄. Θείας ἀγάπης, γνώσεως χωρίς, οὐ καταξιωθήσῃ· οὐδὲ ταύτης, πλὴν πίστεως. Πίστιν δέ φημι, οὐ τὴν ψιλὴν ἁπλῶς, ἀλλὰ τὴν ἐκ πράξε-

τὰ συντηρεῖ δὲ ἡ ταπεινοφροσύνη μαζὶ καὶ ἡ ἐγκράτεια, ἡ ἀδιάλειπτη προσευχὴ καὶ ἡ πνευματικὴ θεωρία καί, μαζὶ μὲ τὴν ἀοργησία, τὸ διαρκὲς δάκρυ. Καὶ χωρὶς τὴν ἀπάθεια, δὲν θὰ ἐπιτύχῃς τὸ κάλλος τῆς διακρίσεως.

38. Κανεὶς νὰ μὴν σὲ ἀπατήσῃ, Ἀδελφέ, ὅτι χωρὶς τὴν ἁγιότητα, σύμφωνα μὲ τὸν Ἀπόστολο [Παῦλο], ὁρᾶται ὁ Θεός. Διότι δὲν καταδέχεται ὁ Κύριος, ὁ Ὑπέραγνος, ὁ ὁποῖος εὑρίσκεται καὶ ἐπάνω ἀπὸ κάθε καθαρότητα, νὰ φανερωθῇ σὲ ἀκάθαρτο. Διότι, ὅπως [εἶναι] ἀνάξιος Αὐτοῦ ἐκεῖνος, ποὺ ἀγαπᾶ τὸν πατέρα καὶ τὴν μητέρα [του] περισσότερο ἀπ᾽ Αὐτόν, ἢ πάλι, τὴν θυγατέρα καὶ τὸν υἱό [του], ἔτσι [δὲν εἶναι ἄξιος καὶ ὅποιος ἀγαπᾶ περισσότερο ἀπὸ τὸν Κύριο] ὁτιδήποτε ἀπὸ τὰ πρόσκαιρα καὶ τὰ ὑλικά. Καί, πολὺ περισσότερο, [δὲν εἶναι ἄξιος] ἐκεῖνος, ὁ ὁποῖος προτιμᾶ τὴν βδελυρὰ καὶ δυσώδη ἁμαρτία ἀπὸ τὴν ἀγάπη τοῦ Κυρίου. Διότι ὁ Θεὸς ἀπεχθάνεται ἐκεῖνον, ποὺ δὲν ἀποστρέφεται τὴν ἀκαθαρσία· ἐπειδὴ ἡ φθορὰ δὲν κληρονομεῖ, βέβαια, τὴν ἀφθαρσία.

39. Χωρὶς τὴν [θεία γνῶσι], δὲν θὰ μπορέσῃς νὰ ἀξιωθῇς τὴν θεία ἀγάπη· οὔτε αὐτήν, χωρὶς τὴν πίστι. Πίστι δὲ λέγω, ὄχι τὴν ψιλὴ ἁπλῶς, ἀλλὰ ἐκείνη, ἡ ὁποία ἐπέρχεται

ως προσγινομένην τῶν ἀρετῶν. Τῆς δ᾽ ἀληθοῦς κατανύξεως τότ᾽ ἐπιτεύξῃ ὅταν δι᾽ ἐγκρατείας, καὶ ἀγρυπνίας, προσευχῆς τε, καὶ ταπεινώσεως, τὴν ἔμφυτον τῆς σαρκὸς ἀπομαράνας ἡδονήν, συσταυρωθῇς τῷ Ἰησοῦ[28]*, μηκέτι ζῶν ἐμπαθῶς, ἀλλὰ τῷ θείῳ Πνεύματι καὶ ζῶν, καὶ στοιχῶν*[29] *ἐλπίδι τῆς ἄνω λήξεως.*

μ΄. Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, βόα πρὸς τὸν Θεόν, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ[30]*, μέχρι τέλους τυραννῶν διὰ τῶν παθῶν καὶ ὑπωπιάζων με. Ἀλλ᾽ ἵνα πρὸ τελευτῆς τῆς αὐτοῦ χειρὸς ἀφαρπάσῃς με, καὶ ζῆν πνευματικῶς, κατὰ τὸ σοὶ εὐάρεστον, καταξιώσας διὰ χρηστοῦ τέλους, σεσωσμένον τῷ σῷ παραστήσειας βήματι· ἔνθεν τὸν ἀῤῥαβῶνα τῆς σωτηρίας, τῷ σῷ ἐλέει, καὶ τὴν ἀνενδοίαστον κομιζόμενον πληροφορίαν· ὡσὰν μὴ τεταραγμένος, ἐν καιρῷ ἐξόδου, καὶ ἀνέτοιμος εὑρισκόμενος, ἀφόρητον ἡγοῦμαι τὴν θλῖψιν, καὶ τοῦ θανάτου καὶ τῆς κολάσεως πικροτέραν καὶ χεί-*

ἀπὸ τὴν πρᾶξι, [ἀπὸ τὴν ἔμπρακτη ἐργασία] τῶν ἀρετῶν. Τὴν δὲ ἀληθινὴ κατάνυξι τότε θὰ τὴν ἐπιτύχῃς, ὅταν, μαραίνοντας τελείως, διὰ τῆς ἐγκρατείας καὶ ἀγρυπνίας καὶ προσευχῆς καὶ ταπεινώσεως, τὴν ἔμφυτη ἡδονὴ τῆς σαρκός, σταυρωθῇς μαζὶ μὲ τὸν Ἰησοῦ, χωρὶς νὰ ζῇς πλέον ἐμπαθῶς, ἀλλὰ καὶ νὰ ζῇς μὲ τὸ Θεῖο Πνεῦμα καὶ νὰ [Τὸ] ἀκολουθῇς [σὲ ὅσα ὁρίζει], μὲ τὴν ἐλπίδα τῆς ἄνω λήξεως [τῆς Βασιλείας τῶν οὐρανῶν].

40. Νὰ βοᾷς πρὸς τὸν Θεό: Ἀπ᾽ αὐτὸ θὰ μάθω, ὁπωσδήποτε, ὅτι μὲ θέλεις [γιὰ δικό σου, ἀπὸ τὸ] ὅτι δὲν θὰ [ἐπιτρέψῃς νὰ] χαρῇ ὁ ἐχθρός μου ἐναντίον μου, μὲ τὸ νὰ μὲ τυραννᾷ καὶ νὰ μὲ ταλαιπωρῇ μέχρι τέλους [τῆς ζωῆς μου] μὲ τὰ πάθη. Ἀλλὰ νὰ μὲ ἀποσπάσῃς, πρὸ τοῦ θανάτου μου, ἀπὸ τὸ χέρι τοῦ [ἐχθροῦ] καὶ ἀφοῦ μὲ καταξιώσῃς νὰ ζῶ πνευματικά, σύμφωνα μὲ τὸ εὐάρεστο θέλημά σου, νὰ μὲ παρουσιάσῃς, διὰ ἀγαθοῦ τέλους, σωσμένο ἐμπρὸς στὸ βῆμα σου, ἀφοῦ λάβω μὲ τὸ ἔλεός σου, ἀπ᾽ ἐδῶ [στὴν παροῦσα ζωή], τὸν ἀρραβῶνα τῆς σωτηρίας [μου] καὶ τὴν βεβαία πληροφορία [γι᾽ αὐτήν]· ὥστε νὰ μὴν εὑρεθῶ, κατὰ τὸν καιρὸ τοῦ θανάτου μου, ἀνέτοιμος, σὰν ταραγμένος, καὶ αἰσθάνομαι ἀβάσταχτη τὴν θλῖψι, πικρότερη καὶ χειρότερη καὶ ἀπὸ τὸν θάνατο καὶ ἀπὸ τὴν

ρονα.

μα΄. Οὐκ ἔστιν ἁπλῶς ψιλὸν πρᾶγμα καὶ τὸ τυχόν, ἡ πίστις καὶ ἡ ἐλπίς. Ἀλλ᾽ ἡ μὲν πίστις, στεῤῥᾶς δεῖται ψυχῆς· ἡ δὲ ἐλπίς, γνώμης καὶ καρδίας εὐθείας. Πῶς γὰρ τις πιστεύσει τοῖς οὐχ ὁρωμένοις εὐκόλως, χωρὶς τῆς χάριτος; πῶς δὲ ἐλπίσει περὶ τῶν μελλόντων ἀδήλων, εἰ μὴ σχοίῃ τινὰ ἐξ εὐθύτητος πεῖραν τῶν χαρισμάτων Κυρίου; δι᾽ ὧν κἀκείνων λάβῃ πληροφορίαν, ὡς ἐνεστώτων· οὐκοῦν ἐν ἀμφοτέροις, καὶ ἀρετῆς χρεία, καὶ τῆς τοῦ Θεοῦ ῥοπῆς τε καὶ βοηθείας· ὧν μὴ παρόντων ἡμῖν, εἰκῇ κοπιῶμεν.

μβ΄. Γέννημα ἀληθινῆς ἀρετῆς, ἢ γνῶσις, ἢ ἀπάθεια, ἢ καὶ ἄμφω ταῦτα· εἰδ᾽ οὖν, ἀλλὰ μεματαίωται ἡμῖν, καὶ ἡ δοκοῦσα ἀρετὴ οὐκ ἀνόθευτός ἐστιν· ἦ γὰρ ἄν, ἐκόμα, καὶ καρποῖς, οὐ φύλλοις μόνον, νυνὶ δέ, ἢ ἀρέσκειαν ἀνθρώπων, ἢ αὐταρέσκειαν ἐπισυρόμενος [recte: ἐπισυρομένη], ἢ ἄλλο τι τῶν μὴ ἀρεσκόντων Θεῷ, νόθος, καὶ οὐ θεοφιλής ἐστιν. Ἀλλ᾽ ἡμεῖς τὸ αἴτιον ἐπιδιορθωσάμενοι,

κόλασι.

41. Δὲν εἶναι ἡ πίστι καὶ ἡ ἐλπίδα ἁπλῶς, ἕνα πρᾶγμα γυμνὸ [ἀπὸ οὐσία] καὶ τυχαῖο. Ἀλλὰ ἡ μὲν πίστι χρειάζεται δυνατὴ ψυχή, ἡ δὲ ἐλπίδα [χρειάζεται] γνώμη καὶ καρδία εἰλικρινῆ. Διότι, πῶς εἶναι δυνατὸν νὰ πιστέψῃ κάποιος μὲ εὐκολία, ἐκεῖνα, τὰ ὁποῖα δὲν φαίνονται, χωρὶς τὴν [βοήθεια τῆς θείας] Χάριτος; Πῶς μπορεῖ δὲ νὰ ἐλπίσῃ, ὅσον ἀφορᾶ τὰ μελλοντικὰ [ἀγαθά, ποὺ εἶναι ἀκόμη] ἄδηλα, ἐὰν δὲν ἤθελε ἀποκτήσῃ [ἀπὸ τώρα, στὴν παροῦσα ζωή], κάποια ἐμπειρία τῶν χαρισμάτων, [δηλαδή, τῶν ὑψηλῶν δωρεῶν] τοῦ Κυρίου, [ποὺ θὰ τοῦ χαρισθῇ], ἕνεκα τῆς εὐθύτητός του [τῆς ἁπλότητός του], διὰ τῶν ὁποίων [χαρισμάτων], θὰ λάβῃ τὴν πληροφορία καὶ γιὰ ἐκεῖνα, [τὰ μέλλοντα], ὡς παρόντα; Ἑπομένως, καὶ στὰ δύο [καὶ στὴν πίστι καὶ στὴν ἐλπίδα] χρειάζεται καὶ ἀρετὴ καὶ ἐπιπλέον ἐνίσχυσι καὶ βοήθεια τοῦ Θεοῦ. Ἐὰν αὐτὰ δὲν ὑπάρχουν σὲ μᾶς, ματαίως κοπιάζομε.

42. Γέννημα τῆς ἀληθινῆς ἀρετῆς [εἶναι] ἢ ἡ [θεία] γνῶσι, ἢ ἡ ἀπάθεια, ἢ καὶ τὰ δύο αὐτά. Διαφορετικά, ἐάν, λοιπόν, [δὲν ὑπάρχουν αὐτά, δηλαδή, ἡ θεία γνῶσι καὶ ἡ ἀπάθεια] ἀλλὰ ἔχουν ἐμποδισθῆ νὰ πραγματωθοῦν ἀπὸ μᾶς, [ἐξ ὑπαιτιότητός μας, τότε] ἡ ἀρετή, ποὺ θεωροῦμε, [ὅτι ἔχομε], δὲν εἶναι γνήσια. Διότι, ἐὰν ἦταν [γνήσια], θὰ ἔφερε καὶ καρποὺς [καὶ] ὄχι μόνον φύλλα, τώρα δέ, ἐπειδὴ [ἡ ἀρετή] ἀκολουθεῖται ἢ γι᾽ ἀνθρωπαρέσκεια ἢ γιὰ αὐταρέσκεια ἢ γιὰ κάτι ἄλλο ἀπὸ ἐκεῖνα, ποὺ δὲν ἀρέσουν στὸν Θεό, εἶναι νόθος καὶ ὄχι ἀρεστὴ στὸ Θεό. Ἀλλὰ ἐμεῖς, ἀφοῦ διορθώσωμε τὴν αἰτία,

τευξόμεθα πρὸς τὸ λυσιτελὲς ἀναμφιβόλως, καὶ τῆς κομιζούσης ὁπότε δεῖ καὶ καθ' ὅσον, καὶ γνῶσίν τε καὶ ἀπάθειαν, τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν χάριτος.

μγ'. Νόει τὰ τοῦ ἐχθροῦ νοήματα διὰ φωτισμοῦ τῆς χάριτος, καί, ῥίπτων ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ μετὰ κλαυθμοῦ, ἐξάγγελε τὴν ἀσθένειάν σου, μηδὲν ἔχων ἑαυτόν, εἰ καὶ δοκεῖν εἶναί τινα παραπείθει ὁ ἀπατεών, μήτε μὴν ἀξιῶν περὶ βραβεύσεως χαρισμάτων, εἰ μὴ σωτηρίας εἶεν πρόξενα, καὶ ταπεινοφροσύνης φυλακτικά· ζήτει δὲ τὴν μὴ φυσιοῦσαν γνῶσιν ὡς θεογνωσίας αἰτίαν· καὶ τοῦ μὴ καταδυναστεύεσθαι μέχρι τέλους, τυράννων δίκην τοῖς πάθεσιν· ἀλλ' ἀπολυθῆναι τῆς σαρκὸς ἐν ἀπαθείᾳ, ἢ συμπαθείᾳ σφαλμάτων, τὸ ταπεινότερον.

μδ'. Ὥς περ οὐκ ἔστιν ἀναπτῆναι εἰς τὰ ὑψηλὰ καὶ μετέωρα ἄνευ πτερῶν, οὕτως οὐδὲ τυχεῖν τῶν ἐλπιζομένων, ἐκτὸς τῆς ἀπεντεῦθεν ἀνενδοιάστου πληροφορίας. Ἡ δὲ πληροφορία, ἐκ ταπεινοφροσύνης ἄκρας, ἢ ἐκ τῆς

θὰ ἐπιτύχωμε, ἀναμφίβολα, γιὰ τὴν ὠφέλειά [μας] καὶ τὴν Χάρι τοῦ ἀγαθοῦ Θεοῦ μας, ἡ ὁποία προσφέρει, ὅταν πρέπει καὶ ὅσο [πρέπει] καὶ γνῶσι καὶ ἀπάθεια.

43. Μὲ τὸν φωτισμὸ τῆς [θείας] Χάριτος νὰ ἀντιλαμβάνεσαι τὰ νοήματα τοῦ ἐχθροῦ [αὐτὰ ποὺ σπέρνει ὁ ἐχθρὸς στὸ νοῦ σου], καὶ ρίπτοντας τὸν ἑαυτόν σου ἐνώπιον τοῦ Θεοῦ, μετὰ κλαυθμοῦ ἐξομολογήσου τὴν ἀσθένειά σου, ἔχοντας ὡς μηδὲν τὸν ἑαυτόν σου, [ἀκόμη] καὶ ἂν σὲ παραπλανᾷ ὁ ἀπατεὼν [διάβολος] νὰ νομίζῃς ὅτι εἶσαι κάποιος [σπουδαῖος], οὔτε, βέβαια, νὰ ζητᾷς [ἀπὸ τὸν Θεὸ] σχετικὰ μὲ τὴν ἀπονομὴ χαρισμάτων, ἐὰν [αὐτὰ] δὲν ἤθελε εἶναι πρόξενα τῆς σωτηρίας καὶ φυλακτικὰ [ἱκανὰ νὰ προφυλάξουν] τὴν ταπεινοφροσύνη [σου]. Νὰ ζητᾷς, ὅμως, τὴν [θεία] γνῶσι, ἡ ὁποία δὲν δημιουργεῖ ἔπαρσι, ἐπειδὴ [εἶναι] πρόξενος θεογνωσίας καὶ [ἀκόμη νὰ ζητᾷς], ὥστε νὰ μὴν καταδυναστεύεσαι, ὅπως ἀπὸ τυράννους, ἀπὸ τὰ πάθη μέχρι τέλους [τῆς ζωῆς σου] ἀλλὰ [νὰ ζητᾷς] νὰ ἀπολυθῇς ἀπὸ τὸ σῶμα [σου, νὰ χωρισθῇς δηλαδὴ ἀπ' αὐτὸ] σὲ κατάστασι ἀπαθείας ἢ [καὶ] τὸ ταπεινότερο σὲ κατάστασι συγχωρήσεως τῶν ἁμαρτιῶν [σου].

44. Ὅπως, ἀκριβῶς, δὲν εἶναι δυνατὸν νὰ πετάξῃ [κανεὶς] εἰς τὰ ὑψηλὰ καὶ οὐράνια χωρὶς πτερά, ἔτσι οὔτε [εἶναι δυνατὸν] νὰ ἐπιτύχῃ τὰ ἐλπιζόμενα [μελλοντικὰ ἀγαθά], χωρὶς τὴν ἀναμφίβολη ἀπ' ἐδῶ πληροφορία. Ἡ δὲ πληροφορία [προέρχεται] ἀπὸ ἄκρα ταπεινοφροσύνη, ἢ ἀπὸ τὴν

τοῦ Ἁγίου Πνεύματος χάριτος ἐν τοῖς τελείως καταλλαττομένοις Θεῷ, ἐν οἷς καὶ ἀπάθεια πάντως, ἢ ἐκ μέρους, ἢ τελεώτερον κατὰ τὴν καταλλαγὴν καὶ τὴν κάθαρσιν· οἱ δ᾿ ἄλλως τοῦ σώματος χωριζόμενοι, ὡς ἐν χειμῶνι παθῶν ἔτι, ἢ σαββάτῳ[31] *(ἀργοὶ δηλονότι τῶν ἀρετῶν), ὑπὸ κρίσιν εἰσί, καὶ ἐξέτασιν, ὡς ὑπεύθυνοι ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως.*

με΄. Σῳζόμενος δωρεάν, εὐχαρίστει τῷ σωτῆρι Θεῷ. Εἰδὲ βούλει καὶ δῶρα προσενεγκεῖν, πρόσφερε ἀπὸ τῆς χηρευούσης ψυχῆς σου τὰ δύο λεπτὰ εὐγνωμόνως, ταπείνωσιν, φημί, καὶ ἀγάπην· καὶ προσδέξεται ταύτας, εὖ οἶδα, ὑπὲρ ἀρετῶν πληθυσμὸν καταβαλλομένων παρὰ πολλῶν, εἰς τὸ τῆς σωτηρίας γαζοφυλάκιον[32]*. Εἰδὲ καὶ ὡς ὁ Λάζαρος*[33] *δέῃ ἀναζωώσεως, τεθνήξας ὑπὸ τῶν παθῶν, αὐτὰς ταύτας ὡς ἀδελφὰς γνησίας προβαλοῦ μεσίτιδας πρὸς αὐτόν, καὶ τεύξῃ πάντως τοῦ ζητουμένου.*

μϛ΄. Τὴν πρακτικὴν κατορθῶν, οὐ δυνήσῃ δι᾿ αὐτῆς καὶ

Χάρι τοῦ Ἁγίου Πνεύματος σὲ ἐκείνους, οἱ ὁποῖοι συμφιλιώνονται τελείως μὲ τὸν Θεό, στοὺς ὁποίους [ὑπάρχει], ὁπωσδήποτε, καὶ ἀπάθεια, ἢ μερικὴ ἢ τελειοτέρα, ἀναλόγως μὲ τὴν συμφιλίωσί [τους μὲ τὸν Θεὸ] καὶ τὴν κάθαρσι, [ποὺ ἔχουν ἐπιτύχει]. Διαφορετικὰ δέ, ἐκεῖνοι ποὺ χωρίζονται ἀπὸ τὸ σῶμα, ἐνῷ [εὑρίσκονται] ἀκόμη μέσα στὸν χειμῶνα τῶν παθῶν, ἢ κατὰ τὸ Σάββατο, [δηλαδὴ εἶναι ἀργοὶ ἀπὸ ἀρετές, δὲν τὶς ἐργάστηκαν, ὅπως τὸ Σάββατο τὸ Ἑβραϊκὸ ἦταν ἀργία, αὐτοὶ] εἶναι ὑπὸ κρίσι καὶ ἐξέτασι κατὰ τὸν καιρὸ τῆς ἀνταποδόσεως [τῶν ἔργων τους], ὡς ὑπεύθυνοι.

45. Ἀφοῦ σώζεσαι δωρεάν, εὐχαρίστησε τὸν Σωτῆρα Θεό. Ἐὰν θέλῃς [ἐπιπλέον], νὰ [τοῦ] προσφέρῃς καὶ δῶρα, πρόσφερε μὲ εὐγνωμοσύνη ἀπὸ τὴν ψυχή σου, ἡ ὁποία χηρεύει [εἶναι, δηλαδή, πτωχὴ καὶ ἔρημη] τὰ δύο λεπτά, τὴν ταπείνωσι, [δηλαδή], ἐννοῶ καὶ τὴν ἀγάπη· καὶ γνωρίζω καλά, [ὅτι] θὰ δεχθῇ αὐτὲς περισσότερο ἀπὸ πλῆθος ἀρετῶν, οἱ ὁποῖες κατατίθενται ἀπὸ πολλοὺς στὸ γαζοφυλάκιο [θησαυροφυλάκιο] τῆς σωτηρίας. Ἐὰν δὲ καί, ὅπως ὁ Λάζαρος, χρειάζεσαι ἀναζωογόνησι, ἐπειδὴ θὰ ἔχῃς νεκρωθῆ ἀπὸ τὰ πάθη, αὐτὲς τὶς ἴδιες [τὴν ταπείνωσι, δηλαδή, καὶ τὴν ἀγάπη] νὰ προτείνῃς, σὰν γνήσιες ἀδελφές [σου], ὡς μεσίτριες πρὸς Αὐτόν, καὶ ὁπωσδήποτε, θὰ ἐπιτύχῃς ἐκεῖνο, τὸ ὁποῖο ἐπιζητεῖς.

46. Κατορθώνοντας τὴν πρακτικὴ [ἀρετή], δὲν θὰ μπορέσῃς, μὲ μόνον

μόνης προσπελάσαι τῇ ἀπαθείᾳ, ὥστε καθαρῶς ἅμα, καὶ ἀῤῥεμβάστως προσεύχεσθαι· εἰ μὴ καὶ πνευματικαὶ τὸν νοῦν διαδέχονται θεωρίαι, τῆς τε φωτιστικῆς γνώσεως, καὶ τῆς τῶν ὄντων κατανοήσεως, ὑφ᾿ ὧν πτερούμενός τε, καὶ ἐλλαμπόμενος, ὑψοῦται τῷ τῆς ἀληθοῦς προσευχῆς ὁλικῶς ἔρωτι, ἀνατατικῶς πρὸς τὰ συγγενῆ φῶτα τῶν ἄνω ἀΰλων τάξεων, κᾀκεῖθεν, ὡς ἐφικτόν, πρὸς τὸ μέγα φέρεται φῶς, καὶ τρισήλιον τῆς θεαρχικῆς Τριάδος.

μζ΄. Οὐ κολασθησόμεθα ἐν τῷ μέλλοντι, ὅτι ἡμάρτομεν, οὐδὲ κατακριθησόμεθα τούτου χάριν, τρεπτῆς, καὶ ἀλλοιωτῆς λαχόντες φύσεως· ἀλλ᾿ ὅτι ἁμαρτήσαντες, οὐ μετενοήσαμεν, οὐδὲ ἐστράφημεν τῆς πονηρᾶς ὁδοῦ πρὸς τὸν Κύριον, ἐξουσίαν λαβόντες καὶ καιρὸν μετανοίας, ἵνα καὶ μᾶλλον τὸ ἀγαθόν, ὅπερ ἐστὶ τὸ θεῖον ἀλλὰ μὴ τοὐναντίον, ὡς ἐμπαθές, ὑποδείξωμεν, ἀμυνόμενον, οἷον, καὶ ὀργιζόμενον. Πλὴν τὴν κακίαν, ἀλλ᾿ οὐχ ἡμᾶς, αὐτὸ γὰρ παντὸς πάθους καὶ

αὐτή, νὰ προσεγγίσῃς καὶ τὴν ἀπάθεια, ὥστε νὰ προσεύχεσαι συγχρόνως καθαρὰ καὶ ἀμετεώριστα, ἐὰν δὲν ἐπακολουθοῦν στὸν νοῦ καὶ πνευματικὲς θεωρίες, [δηλαδή], καὶ τῆς φωτιστικῆς [θείας] γνώσεως [αὐτῆς, ποὺ παρέχει τὸ φῶς στὸν νοῦ] καὶ τῆς κατανοήσεως τῶν [λόγων] τῶν ὄντων, ἀπὸ τὶς ὁποῖες λαμβάνοντας πτερὰ [ὁ νοῦς] καὶ φωτιζόμενος, ὑψώνεται ὁλοκληρωτικὰ μὲ τὸν ἔρωτα τῆς ἀληθινῆς [τῆς καθαρᾶς, δηλαδή, καὶ ἀμετεώριστης] προσευχῆς, τείνοντας πρὸς τὰ συγγενῆ [του πλέον] φῶτα τῶν οὐρανίων ἀΰλων [Ἀγγελικῶν] τάξεων, καὶ ἀπ᾿ ἐκεῖ, ὅσον [εἶναι] δυνατόν, [ὁδηγεῖται] πρὸς τὸ Μέγα καὶ τρισήλιο Φῶς τῆς θεαρχικῆς Τριάδος.

47. Δὲν θὰ τιμωρηθοῦμε στὸν μέλλοντα [αἰῶνα], ἐπειδὴ ἁμαρτήσαμε, οὔτε θὰ κατακριθοῦμε χάριν αὐτοῦ, ἀφοῦ κληρονομήσαμε τρεπτὴ καὶ ἀλλοιούμενη φύσι. Ἀλλὰ [θὰ τιμωρηθοῦμε], διότι, ἐνῶ ἁμαρτήσαμε, δὲν μετανοήσαμε, [καὶ] οὔτε στραφήκαμε ἀπὸ τὴν πονηρὰ ὁδὸ πρὸς τὸν Κύριο, ἐνῶ λάβαμε ἐξουσία [δυνατότητα] καὶ καιρὸ μετανοίας, ὥστε καὶ νὰ παρουσιάσωμε τὸ θεῖον [τὸν Θεὸ] περισσότερο ἀγαθό, τὸ ὁποῖο ἀκριβῶς [καὶ] εἶναι, ὄχι ὅμως τὸ ἀντίθετο, [νὰ τὸ παρουσιάσωμε], ὡς ἐμπαθές, μὲ τὸ νὰ [μᾶς] ἐκδικῆται, τρόπον τινά, καὶ νὰ ὀργίζεται [ἐναντίον μας]. Πλὴν [τὸ θεῖον τιμωρεῖ] τὴν κακία, ἀλλὰ ὄχι ἐμάς, διότι Αὐτὸ [εἶναι] ἔξω ἀπὸ κάθε πάθος

πάσης ἀμύνης ἐκτός· εἰ καὶ λέγεται συσχηματίζεσθαι τοῖς ἔργοις ἡμῶν, καὶ ταῖς διαθέσεσιν, ἐσόπτρου δίκην, ἑκάστῳ κατὰ τὴν τῶν βεβιωμένων ἀξίαν δόσιν ἀντιπαρέχων.

μη΄. Σαλευόμενος τῆς κρείττονος στάσεως, μὴ θροοῦ, ἀλλὰ διορθοῦ, θᾶττον ἐπανατρέχων εἰς τὴν προτέραν κατάστασιν, λύπῃ καὶ σκυθρωπότητι, καὶ αὐτομεμψίᾳ σφοδρᾷ· ἀλλὰ γὰρ καὶ δακρύων ἱκανῇ ἐκχύσει, ἐν συντριβῇ πνεύματος· δι᾽ ὧν ἐξιὼν τοῦ συμβατικοῦ πτώματος, εἰς τὴν κοιλάδα ἥξεις τῆς σωτηρίου ἀγαλλιάσεως, εἰς τὸ ἑξῆς ἀσφαλιζόμενος, ὅση δύναμις· ἵνα μὴ πάλιν τὸν Κριτὴν παροργίσας, δέῃ δακρύων καὶ θλίψεως εἰς ἐξίλασμα. Εἰδὲ μὴ ὧδε τοῦτο, ἀλλὰ πάντως κολάσεως ἐν τῷ μέλλοντι.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

μθ΄. Πάλιν περὶ τῆς σεβασμίου ἱερωσύνης ἡμῖν ὁ λόγος, ὡς ἀγγελικῆς δεῖται τάξεως καὶ καθάρσεως, καὶ πλείονος τῆς μετὰ ταῦτα

καὶ κάθε ἐκδίκησι· ἂν καὶ λέγεται, ὅτι συσχηματίζεται μὲ τὰ ἔργα καὶ μὲ τὶς διαθέσεις μας, δίκην καθρέπτου, ἀνταποδίδοντας στὸν καθένα δώρημα, ἀναλόγως τῆς ἀξίας ἐκείνων, τὰ ὁποῖα ἔχει ζήσει [ἔχει πράξει].

48. Ὅταν κλονίζεσαι ἀπὸ τὴν ὑψηλότερή [σου πνευματικὴ] κατάστασι, νὰ μὴ ταράζεσαι, ἀλλὰ νὰ διορθώνεσαι, ἐπιστρέφοντας τὸ γρηγορότερο στὴν προηγουμένη [σου] κατάστασι, μὲ λύπη [γιὰ τὸν κλονισμό σου], μὲ σκυθρωπότητα καὶ σφοδρὴ αὐτομεμψία· ἀλλά, βέβαια, καὶ μὲ ἀρκετὴ ἔκχυσι δακρύων, μέσα σὲ συντριβὴ πνεύματος· διὰ τῶν ὁποίων, ἀφοῦ θὰ ἐξέλθῃς ἀπὸ τὴν περιστασιακὴ πτῶσι, [ποὺ σοῦ συνέβη], θὰ φθάσῃς στὴν κοιλάδα τῆς σωτηρίου ἀγαλλιάσεως, ἀσφαλιζόμενος εἰς τὸ ἑξῆς [λαμβάνοντας τὰ μέτρα σου νὰ μὴν πέσῃς], μὲ ὅση δύναμι [ἔχεις], ὥστε νὰ μὴν χρειάζεσαι δάκρυα καὶ θλίψεις γιὰ ἐπανόρθωσι, ἐπειδὴ παρόργισες πάλι τὸν Κριτή. Ἐὰν δέ, δὲν [γίνῃ] αὐτό, [δηλαδή, ἡ μετάνοια] ἐδῶ [στὴν παροῦσα ζωή], ὅμως, ὁπωσδήποτε, στὸ μέλλοντα [αἰῶνα, θὰ τύχῃς] κολάσεως.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

49. Πάλι ὁ λόγος μας [εἶναι] περὶ τῆς σεβασμίας Ἱερωσύνης, ἐπειδὴ [ἐκεῖνος, ποὺ μετέχει τῆς Ἱερωσύνης], ἔχει ἀνάγκη ἀπὸ Ἀγγελικὴ τάξι καὶ κάθαρσι καὶ ἀπὸ περισσότερη

ἀσφαλείας, καὶ σωφροσύνης, ἢ τὸ πρόσθεν. Εἴπερ τὸ μιαρὸν ποσῶς καθαρὸν γενέσθαι, τὸ καθαρόν δέ, πῶς ἄρα καὶ βεβηλωθήσεται; εἰμή, μέλοιμεν φωτὶ σκότος μειγνῦντες καὶ μύρῳ τὴν δυσωδίαν, τὸ οὐαὶ κληροῦσθαι, καὶ τὴν ἀπώλειαν ὡς ἱερόσυλοι πάντως κατὰ τὸν Ἀνανίαν τε καὶ τὴν Σάπφειραν[34].

ν΄. Ἀπὸ σκεύους ἀπολωλότος ὁμοῦ, καὶ ἀχρήστου, εἰ καὶ δοκεῖς ἀξίως ἐπιβῆναι ἴσως ἱερωσύνης τῆς ἰσαγγέλου καὶ οὐρανίου διὰ μικρὰν κάθαρσιν, σκεῦος ἐκλογῆς καὶ τῷ Κυρίῳ εὔχρηστον κατὰ Παῦλον[35] *γενόμενος, τήρει τὴν τιμὴν ἄχραντον ἧς ἠξίωσαι, φυλάσσων τὸ θεῖον δῶρον ὡς κόρην ὀφθαλμοῦ, ἵνα μή, κοινωθεὶς ἀπροσέκτως, ἀποῤῥιφῇς ἐξ ὕψους πάντως εἰς βόθυνον, δυσχερῶς εὑρίσκων ἐπάνοδον.*

να΄. Νόει, ὡς ἐχέφρων, ὅτι Θεοῦ δικαιοῦντος, ὁ κατακρίνων οὐδείς[36]. *Καὶ εἰ κληθεὶς εἰσῆλθες εἰς τὴν ὑπερκόσμιον τῆς θείας ἱερωσύνης χάριν, μηδέν σοι μέλει περὶ τοῦ προλαβόντος βίου,*

προφύλαξι καὶ σωφροσύνη [εἰς τὸ ἑξῆς], παρὰ κατὰ τὸ προηγούμενο διάστημα. Ἐάν, βέβαια, τὸ ἀκάθαρτο, [πρέπει] τρόπον τινά, νὰ γίνῃ καθαρό, τὸ καθαρὸ δέ, πῶς [μπορεῖ] λοιπόν, ἐπὶ πλέον νὰ βεβηλωθῇ; Διαφορετικά, ἐὰν ἀναμειγνύωμε τὸ σκοτάδι μὲ τὸ φῶς καὶ τὴν δυσωδία μὲ τὸ μύρο, πρόκειται νὰ κληρονομήσωμε, ὁπωσδήποτε, τὸ οὐαὶ καὶ τὴν καταστροφή, ὡς ἱερόσυλοι, ὅμοια μὲ τὸν Ἀνανία καὶ τὴν Σαπφείρα.

50. Ἀπὸ σκεῦος χαμένο καὶ συγχρόνως ἄχρηστο, [ποὺ ἦσουν προηγουμένως], ἂν καὶ θεωρῇς, ἴσως, ὅτι ἐπαξίως ἀνῆλθες στὴν ἰσάγγελη καὶ οὐράνια ἱερωσύνη, ἕνεκα [κάποιας] μικρῆς καθάρσεώς [σου], ἀφοῦ [τώρα] ἔγινες σκεῦος ἐκλογῆς καὶ σύμφωνα μὲ τὸν [Ἀπόστολο] Παῦλο, εὔχρηστο γιὰ τὸν Κύριο, διατήρησε τὴν τιμή, τὴν ὁποία ἀξιώθηκες [νὰ λάβῃς], ἀμόλυντη, φυλάσσοντας τὸ θεῖο δῶρο ὡς κόρη ὀφθαλμοῦ, γιὰ νὰ μὴν ἀπορριφθῇς, ἀφοῦ μολύνθηκες ἀπρόσεκτα, ἀπὸ τὸ ὕψος [τῆς Ἱερωσύνης], ὁπωσδήποτε σὲ βάραθρο, βρίσκοντας [ἀπὸ ἐκεῖ] δύσκολα ἐπιστροφή.

51. Ἐννόησε, σὰν ἐχέφρων, ὅτι, ὅταν ὁ Θεὸς συγχωρῇ, κανένας [δὲν ἔχει δικαίωμα] νὰ κατακρίνῃ. Καὶ ἐάν, λαμβάνοντας τὴν κλῆσι, εἰσῆλθες στὴν ὑπερκόσμιο Χάρι τῆς θείας Ἱερωσύνης, μὴ σὲ ἀπασχολῇ τίποτε, ὅσον ἀφορᾷ τὸν προηγούμενο βίο [σου],

εἴπου τι ἴσως καὶ κεκηλίδωται. Διὰ Θεοῦ δὲ αὖθις, καὶ σῆς κεκάθαρται διορθώσεως· ἀλλ᾽ ἔστω σοι σπουδή, καὶ νῆψις μετέπειτα, μὴ ἀμαυρῶσαι τὴν χάριν. Ἵνα εἰ καί τις ἀφρόνως ἐπὶ τῇ σῇ διακρίνηται ἱεροτελεστίᾳ, διὰ τὰ προλαβόντα, ἐνωτισθῇ θείας ἐνηχούσης φωνῆς· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου[37].

νβ΄. Ἐλαφρὸν τὸ τῆς ἱερωσύνης ἀξίωμα καὶ ὁ ζυγὸς χρηστός[38]*, ἀλλ᾽ ἕως ἂν αἴρηται ἅμα ὡς θέμις καὶ κατευθύνηται· καὶ εἰ μὴ ὤνιον ἡ τοῦ θείου Πνεύματος χάρις. Ἐπὰν δὲ σπουδῇ ἀνθρωπίνῃ, καὶ δώρῳ φθαρτῷ πραγματευθείη τὸ ἄπρατον, καὶ ἡ κλῆσις οὐκ ἄνωθεν, βαρὺ μὲν τὸ φορτίον ἄγαν, ὡς βασταζόμενον παρ᾽ ἀξίαν, καὶ ὑπὲρ δύναμιν. Ὁ δὲ ζυγὸς σκληρὸς λίαν ἐκτρίβων καὶ τὸν αὐχένα, καὶ τὴν ἰσχὺν τοῦ ἕλκοντος, εἰ μὴ ἀνεθείη, ἕως ἂν τοῦτον ἐκδαπανήσῃ καὶ ἀναλώσῃ τέλεον.*

νγ΄. Ὑπελθὼν τὸν τῆς ἱερωσύνης ζυγὸν τολμηρῶς, κατόρθου τὰς ὁδούς σου, καὶ ὀρθοτόμει τὸν τῆς ἀληθείας

ἐὰν ἔχῃ καὶ σπιλωθῆ, ἴσως κάπου, ὡς πρὸς κάτι μικρό. Διὰ [τῆς Χάριτος] δὲ τοῦ Θεοῦ καὶ διὰ τῆς δικῆς σου διορθώσεως πάλι, ὁπωσδήποτε, θὰ καθαρθῆ. Ἀλλὰ ἂς ὑπάρχῃ σὲ σένα, μετέπειτα, ἐπιμέλεια καὶ νῆψι, γιὰ νὰ μὴν ἀμαυρώσῃς τὴν Χάρι [τῆς Ἱερωσύνης, ποὺ ἔλαβες]. Ὥστε, ἐὰν καὶ κάποιος, ἀφρόνως, ἀμφιβάλλῃ γιὰ τὴν ἱεροτελεστία σου, [ἔχει, δηλαδή, λογισμοὺς γιὰ τὴν γνησιότητά της], ἕνεκα τῶν προηγουμένων [μικρῶν κηλίδων σου], θὰ ἀκούσῃ θεία φωνὴ νὰ τοῦ φωνάζῃ: ἐκεῖνα, τὰ ὁποῖα, ὁ Θεὸς ἐκαθάρισε, ἐσὺ νὰ μὴν τὰ θεωρῆς ἀκάθαρτα.

52. [Εἶναι] ἐλαφρὸ τὸ ἀξίωμα τῆς Ἱερωσύνης καὶ ὁ ζυγός της ἀγαθός, ἀλλὰ ἐφόσον θὰ λαμβάνεται καὶ συγχρόνως θὰ διακονῆται καλῶς, ὅπως [εἶναι] ἀπὸ Θεοῦ ὁρισμένο· καὶ [ἐπιπλέον], ἐὰν δὲν [εἶναι] ἀντικείμενο ἀγοροπωλησίας ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος. Ἐὰν ὅμως, τὸ ἐκτὸς συναλλαγῆς ἤθελε διαπραγματευθῆ μὲ ἀνθρώπινη φιλοδοξία καὶ μὲ φθαρτὰ δῶρα [ὑλικὲς προσφορές], καὶ ἡ κλῆσι [ἡ Ἱερατικὴ] δὲν [προέρχεται] ἄνωθεν [ἐκ τοῦ Θεοῦ, δηλαδή, τότε] τὸ φορτίο μὲν [εἶναι] ὑπερβολικὰ βαρύ, ἐπειδὴ βαστάζεται [ἀπὸ κάποιον] χωρὶς ἀξία [πραγματικὴ] καὶ [εἶναι] πάνω ἀπὸ τὴν δύναμί [του]. Ὁ δὲ ζυγὸς [τῆς Ἱερωσύνης εἶναι τότε] πολὺ σκληρὸς καὶ φθείρει τὸν αὐχένα καὶ τὴν δύναμι ἐκείνου, ὁ ὁποῖος τὸν σύρει, [σὲ τέτοιο σημεῖο] μέχρις ὅτου ἐξαντλήσῃ καὶ ἀφανίσῃ τελείως αὐτόν, [ποὺ κατέχει τὴν Ἱερωσύνη], ἐκτὸς [καὶ] ἐὰν ἤθελε ἐγκαταλείψῃ [τὴν Ἱερωσύνη].

53. Ἀφοῦ, μὲ τόλμη, εἰσῆλθες κάτω ἀπὸ τὸν ζυγὸ τῆς Ἱερωσύνης, [δηλαδή, τὸ τόλμησες], φέρε εἰς πέρας τοὺς δρόμους σου [τὴν πολιτεία σου] καὶ νὰ ἑρμηνεύῃς σωστὰ τὸν λόγο τῆς Ἀληθεί-

λόγον[39]*, μετὰ φόβου καὶ τρόμου, δι᾽ αὐτῆς τὴν σὴν κατεργαζόμενος σωτηρίαν*[40]*· ὅτι ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον*[41]*. Καὶ εἰ μὲν ἅπτῃ τούτου ὡς χρυσὸς ἢ καὶ ἄργυρος, μὴ φοβοῦ τὸν ἐμπρησμόν, ὡς οὐδὲ οἱ ἐν Βαβυλῶνι παῖδες τὸ πῦρ*[42]*. Εἰδὲ χόρτινος εἶ, καὶ καλαμώδης τῆς εὐπρηστοτέρας ὕλης ὡς γηϊνόφρων, τρέμε μὴ κατακαῇς τῷ οὐρανίῳ πυρί, εἰ μὴ φύγῃς ὡς Λὼτ*[43] *τὴν ὀργὴν δι᾽ ἀποχῆς τῶν φρικωδεστάτων. Οὐκ οἶδα, εἰ μή τινα εἶεν ἐξ ἀσθενείας βραχύτατα τῶν ἐλαττωμάτων τῷ θείῳ τούτῳ πυρὶ δαπανώμενα ἐν τῇ εὐαγεστάτῃ λατρείᾳ. Κἀντεῦθεν μένῃς αὐτὸς ἄφλεκτος ἐν τῷ πυρὶ καὶ ἀλώβητος, ὡς τὸ ἀσθενὲς ἐκεῖνο τῆς βάτου φυτόν*[44]*.*

νδ΄. Τῆς παθητικῆς ἕξεως ὡς γονοῤῥυὴς μὴ σθένων ἀποσπασθῆναι διὰ τὴν χρονίαν συνήθειαν, πῶς κατατολμᾷς τῶν, καὶ ἀγγέλοις ἀψαύστων, ταλαίπωρε; Ἢ οὖν φρῖξον, καὶ ἀπόσχου λοιπὸν τῆς θείας ἱεροτελεστίας, καὶ οὕτως ἐξιλεώσῃ τὸ θεῖον, ἢ ἐκδέχου ὡς ἀναίσθητος ἅμα

ας, μετὰ φόβου καὶ τρόμου, κατεργαζόμενος τὴν σωτηρία σου, μέσῳ αὐτῆς [τῆς Ἱερωσύνης]· διότι ὁ Θεός μας εἶναι φωτιά, ἡ ὁποία κατακαίει. Καὶ ἐὰν μὲν ἐγγίζῃς αὐτὴ [τὴν φωτιά], σὰν χρυσὸς ἢ σὰν ἄργυρος, μὴν φοβᾶσαι τὸν ἐμπρησμό, ὅπως οὔτε [καὶ] οἱ παῖδες στὴν Βαβυλῶνα [δὲν ἐφοβήθηκαν] τὴν φωτιὰ [τῆς καμίνου]. Ἐάν, ὅμως, εἶσαι χορτάρινος καὶ καλαμένιος, δηλαδή, ἀπὸ τὴν πιὸ εὔφλεκτη ὕλη, ἐπειδὴ [ἔχεις] γήϊνο φρόνημα, [τότε], νὰ τρέμῃς, μὴ κατακαῇς ἀπὸ τὸ οὐράνιο πῦρ, ἐὰν δὲν φύγῃς, ὅπως ὁ Λὼτ τὴν ὀργὴ [τοῦ Θεοῦ], διὰ τῆς ἀποχῆς ἀπὸ τὰ φρικωδέστατα [Ἅγια μυστήρια, δηλαδή, ἐὰν δὲν παραιτηθῇς ἀπὸ τὸ Λειτούργημα τῆς Ἱερωσύνης]. Δὲν γνωρίζω, μήπως ἐὰν μερικὰ πολὺ μικρὰ ἀπὸ τὰ ἐλαττώματα, ἐξ ἀδυναμίας [προερχόμενα], ἤθελαν ἐξαφανισθῇ ἀπὸ τὸ θεῖο αὐτὸ πῦρ, μέσα στὴν παναγνοτάτη λατρεία. Καὶ ἑπομένως, [ἐξ ἑαυτοῦ], ἐσὺ ὁ ἴδιος παραμένεις ἄφλεκτος ἀπὸ τὸ [θεῖο] πῦρ καὶ ἀκέραιος, ὅπως τὸ ἀδύνατο ἐκεῖνο φυτὸ τῆς βάτου [τῆς καιομένης καὶ μὴ φλεγομένης στὸ Σινᾶ].

54. Ἐὰν δὲν ἔχῃς τὴν δύναμι νὰ ἀποσπασθῇς, ἕνεκα τῆς μακροχρόνιας συνήθειας, ἀπὸ τὴν ἐμπαθῆ συνήθεια, ὅπως αὐτὸς ποὺ πάσχει ἀπὸ γονόρροια, πῶς ἀποτολμᾷς [νὰ ἐγγίσῃς], ταλαίπωρε, ἐκεῖνα, τὰ ὁποῖα καὶ στοὺς Ἀγγέλους [εἶναι] ἀνέγγιχτα; Ἤ, λοιπόν, φρῖξε καὶ ἀπομακρύνσου εἰς τὸ ἑξῆς, ἀπὸ τὴν θεία Ἱεροτελεστία καὶ ἔτσι θὰ ἐξιλεώσῃς τὸ θεῖον ἢ περίμενε σὰν ἀναίσθητος

καὶ ἀδιόρθωτος, εἰς χεῖρας Θεοῦ ζῶντος μετ᾽ ὀργῆς ἐκπεσεῖν, οὐ φειδομένου φιλανθρώπως, ἀλλ᾽ ἀσυμπαθῶς σε κολάζοντος, διὰ τὸ καταtολμᾶν ἀναιδῶς τοῦ βασιλικοῦ γάμου κεχραμένῃ καὶ ψυχῇ καὶ στολῇ, ὡς ἀνάξιον καὶ αὐτῆς εἰσόδου[45], μήτι γε κατακλίσεως.

νε΄. Ἔγνων ἔγωγε τῶν ἱερωμένων τινά, ὃς τῶν θείων κατατολμῶν ἀναξίως, διὰ τὸ πάθει πορνείας περιπεσεῖν. Πίπτει μὲν πρότερον νόσῳ ἀνιάτῳ, καὶ χαλεπῇ, καὶ ἤδη τῷ θανάτῳ προσήγγιζεν. Ἐπεὶ δὲ πάντα ποιῶν εἰς τὴν τοῦ κακοῦ λύσιν ἤνυε πλέον οὐδέν, μᾶλλον δ᾽ αὐτῷ καὶ τὸ κακὸν ἐπετείνετο, εἰς συναίσθησίν που ἐλθών, καὶ ὅτι θανατοῦται τῷ παρ᾽ ἀξίαν ἱερουργεῖν, ἀποτάσσεται μὲν παραυτίκα μεθ᾽ ὅρκου τῇ ἱερᾷ Λειτουργίᾳ. Κατὰ πόδας δ᾽ εὐθέως καὶ ἡ θεραπεία ἐπηκολούθει, ὡς μηδ᾽ ἴχνος τούτῳ ἐναπομεῖναι νοσήματος.

νς΄. Λαμπρὸν τὸ τῆς ἱερωσύνης ἀξίωμά τε καὶ ἔνδυμα, ἀλλ᾽ ἕως ἂν ἔχῃ συνεκλάμπουσαν ἔνδον καὶ τὴν ψυχὴν

καὶ ἀδιόρθωτος, [ποὺ εἶσαι], νὰ πέσῃς μὲ ὀργὴ στὰ χέρια τοῦ ζῶντος Θεοῦ, ὁ ὁποῖος δὲν θὰ σὲ λυπηθῇ μὲ φιλανθρωπία, ἀλλὰ χωρὶς συμπάθεια, [χωρίς, δηλαδή, ἔλεος] θὰ σὲ τιμωρήσῃ, ἕνεκα τοῦ ὅτι ἀποτολμᾶς, μὲ ἀναίδεια, [νὰ συμμετέχῃς] στὸν βασιλικὸ γάμο, μὲ βεβηλωμένη καὶ ψυχὴ καὶ στολή, ἀφοῦ [εἶσαι] ἀνάξιος καὶ αὐτῆς [ἀκόμη] τῆς εἰσόδου, σὲ καμιὰ περίπτωσι, βέβαια, τῆς συμμετοχῆς [στὸ δεῖπνο, μὲ τὸ νὰ ἀνακλιθῇς σ᾽ αὐτό].

55. Καὶ ἐγὼ γνώρισα κάποιον ἀπὸ τοὺς Ἱερωμένους, ὁ ὁποῖος ἀποτολμοῦσε [νὰ τελῇ] τὰ θεῖα [μυστήρια] ἀναξίως, ἕνεκα τοῦ ὅτι περιέπεσε στὸ πάθος τῆς πορνείας. [Αὐτὸς] μὲν πρῶτα ἔπεσε σὲ ἀνίατη καὶ βαρειὰ ἀσθένεια καὶ ἤδη πλησίαζε πλέον τὸν θάνατο. Ἐπειδή, ὅμως, ἂν καὶ ἔκανε τὰ πάντα γιὰ τὴν ἀπαλλαγὴ ἀπὸ τὸ κακό, τίποτε περισσότερο δὲν κατόρθωνε, ἀλλὰ μᾶλλον καὶ προχωροῦσε σ᾽ αὐτὸν τὸ κακό, [δηλαδή, ἡ ἀσθένεια], ἀφοῦ ἦλθε κάπως σὲ συναίσθησι, ὅτι, ὁπωσδήποτε καὶ θὰ πεθάνῃ, ἕνεκα τοῦ ὅτι ἱερουργεῖ ἀναξίως, ἀμέσως μὲν μὲ ὅρκο παραιτεῖται ἀπὸ τὴν Ἱερὰ Λειτουργία. Ἀκολούθως δὲ ἄμεσα ἐπακολούθησε καὶ ἡ θεραπεία, ὥστε δὲν ἔμεινε σ᾽ αὐτὸν οὔτε ἴχνος ἀπὸ τὸ νόσημα.

56. [Εἶναι] λαμπρὸ τὸ ἀξίωμα καὶ τὸ ἔνδυμα τῆς Ἱερωσύνης, ἀλλὰ ἐφόσον θὰ ἔχῃ καὶ τὴν ψυχὴ μαζὶ νὰ ἀπα-

διὰ καθαρότητος. Ἐπὰν δὲ μωμηθῇ ἐξ ἀπροσεξίας, καὶ ἡ συνείδησις μαρτυροῦσα περὶ τοῦ αἴσχους καταφρονῆται, γίνεται σκότος τὸ φῶς, καὶ αἰωνίου σκότους καὶ πυρὸς πρόξενον. Εἰ μήπως ἄρα ταύτην ἀφέντες τὴν ὁδὸν ὡς ἀμφίκρημνον ἑτέραν τραπώμεθα τὴν δι᾽ ἀρετῆς καὶ ταπεινώσεως, ἀκινδύνως εἰς βασιλείαν Θεοῦ ἄγουσαν.

νζ΄. Ἡ τῆς σωτηρίας ἐπιτυχία, δι᾽ εὐτελείας, καὶ ἀρετῆς προσγίνεται, οὐ διὰ τῆς ἐνδόξου ἱερωσύνης, καὶ ἰσάγγελον ἀπαιτουμένης πολίτευμα. Ἢ οὖν γενοῦ κατ᾽ ἀγγέλους ἀπαθής, ὡς ἔξω κόσμου καὶ σαρκὸς τῷ φρονήματι, καὶ οὕτως ἐπὶ τὴν οὐράνιον ταύτην βαῖνε κλίμακα, ἢ ἐπιγνώμων τῆς ἰδίας ἀσθενείας γενόμενος, φοβοῦ τὸ ὕψος ὡς μεγάλου πτώματος τοῖς μὴ κατορθοῦσι· καὶ τὴν τοῖς πολλοῖς στεργομένην ἑλοῦ πολιτείαν, οὐκ ἔλαττον ἐκείνης Θεῷ οἰκειοῦσαν· ἐν ᾗ, κἂν καὶ συμβῇ σε πεσεῖν, ῥᾳδία πάλιν ἡ ἔγερσις τῇ μεταμελείᾳ τῷ τοῦ Θεοῦ ἐλέει ἅμα, καὶ χάριτι.

νη΄. Σάρξ, καὶ αἷμα βασιλεί-

στράπτῃ μὲ τὴν καθαρότητα. Ὅταν, ὅμως, [ἡ ψυχὴ] ἀπὸ ἀπροσεξία ψεγαδιασθῇ καὶ ἡ συνείδησι, ἐνῶ μαρτυρεῖ [διαμαρτύρεται] γιὰ τὸ αἶσχος, περιφρονῆται, [τότε] τὸ φῶς [καὶ ἡ λαμπρότης τοῦ Ἱερατικοῦ ἀξιώματος] γίνεται σκοτάδι καὶ πρόξενο τοῦ αἰωνίου σκότους καὶ πυρός. Ἐκτός, ἐάν, εὐθὺς ἀμέσως, ἀφοῦ ἀφήσωμε αὐτὸν τὸν δρόμο [τῆς Ἱερωσύνης], ὡς κρημνώδη καὶ ἀπὸ τὰ δύο μέρη, στραφοῦμε σ᾽ ἄλλο [δρόμο], ὁ ὁποῖος ὁδηγεῖ ἀκίνδυνα στὴν βασιλεία τοῦ Θεοῦ, μέσῳ τῆς [ἐξασκήσεως] τῆς ἀρετῆς καὶ τῆς ταπεινώσεως.

57. Ἡ ἐπιτυχία τῆς σωτηρίας ἐπέρχεται διὰ τῆς ταπεινώσεως καὶ τῆς ἀρετῆς, ὄχι διὰ τῆς ἐνδόξου Ἱερωσύνης, ἡ ὁποία καὶ ἀπαιτεῖ ἰσάγγελο πολιτεία. Ἑπομένως, ἢ γίνε, ὅπως οἱ Ἄγγελοι, ἀπαθὴς κατὰ τὸ φρόνημα, σὰν [νὰ εἶσαι] ἔξω ἀπὸ τὸν κόσμο καὶ τὴν σάρκα καὶ κατ᾽ αὐτὸν τὸν τρόπο, ἀνέβαινε ἐπάνω σ᾽ αὐτὴ τὴν οὐράνια κλίμακα, ἢ ἀφοῦ ἀποκτήσῃς συνείδησι τῆς ἀσθενείας σου, φοβήσου τὸ ὕψος [τῆς Ἱερωσύνης], καθὼς [εἶναι] μεγάλη ἡ πτῶσις [ἀπὸ ἐκεῖνο τὸ ὕψος] γιὰ ἐκείνους, οἱ ὁποῖοι δὲν εἶναι ἄξιοι· καὶ προτίμησε τὴν πολιτεία [τὴν ζωή], ποὺ προτιμᾶται ἀπὸ τοὺς πολλούς, ἡ ὁποία οἰκειώνει [ἑνώνει] μὲ τὸν Θεὸ ὄχι λιγώτερο ἀπὸ Ἐκείνη, [δηλαδή, τὴν Ἱερωσύνη]. Σ᾽ αὐτὴν [τὴν ζωὴ τὴν ἐκτὸς Ἱερωσύνης], ἔστω καὶ ἂν συμβῇ νὰ πέσῃς, [εἶναι] εὔκολη πάλι ἡ ἀνόρθωσι, διὰ τῆς μετανοίας, μὲ τὸ ἔλεος τοῦ Θεοῦ μαζὶ καὶ τὴν Χάρι.

58. Σάρκα καὶ αἷμα, [δηλαδή, ἄνθρωπος

αν Θεοῦ οὐ κληρονομεῖ[46]*· καὶ πῶς σύ, σαρκὸς Θεοῦ μετέχων καὶ αἵματος, οὐ γίνῃ σύσσωμος, καὶ συνανακιρνᾷ τούτου τῷ αἵματι; ἤδη ἔχων ἐντὸς τὴν τῶν οὐρανῶν βασιλείαν, ἀλλ' ὑπὸ παθῶν πολιορκῇ σαρκὸς καὶ αἵματος; φοβοῦμαι μήπως οὐ καταμενεῖ ἐν σοὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ὡς σαρκικῷ*[47]*, καὶ διχοτομηθῇς*[48] *τότε ἐν καιρῷ κρίσεως, αἰρομένης ἐκ σοῦ τῆς σεβασμίας ἱερωσύνης, ὡς ἀναξίου τοιαύτης χάριτος· καὶ παραπεμπομένου σου κολάσει αἰωνίῳ.*

νθ'. Ἀπέναντι τῶν ὀφθαλμῶν σου, φόβου μὴ ὄντος Θεοῦ[49]*, δοκεῖς ψιλόν τι πρᾶγμα εἶναι τὸ ἀναξίως ἱερουργεῖν, ὑπὸ τῆς φιλαυτίας ἐξαπατώμενος, καὶ ἀγαθὸν ἐντεῦθεν τὸ θεῖον ὑποτοπάζων· τοῦτο καὶ Δαθὰν πάλαι πεπόνθει [recte: ἐπεπόνθει] καὶ Ἀβειρών, ἕως τούτους ἡ γῆ κατέπιεν*[50]*· ὅπερ αὐτὸς δεδοικώς, καὶ φοβούμενος ἀληθῶς, οὗ ἐστι φόβος, νόει τὸ τοῦ πράγματος μέγεθος καὶ ἢ ἀξίως καὶ καθαρῶς, ἵνα μὴ εἴπω ἰσάγγελος, μεταχειρίζου τὸ τῆς θείας ἱερωσύνης*

μὲ σαρκικὸ φρόνημα], δὲν κληρονομεῖ τὴν βασιλεία τοῦ Θεοῦ· ἐπομένως, πῶς ἐσύ, ἐνῶ κοινωνεῖς τὴν Σάρκα καὶ τὸ Αἷμα τοῦ Θεοῦ, δὲν γίνεσαι σύσσωμος [μ' Αὐτὸν] καὶ δὲν ἀναμειγνύεσαι μαζὶ μὲ τὸ Αἷμα Του; Ἐνῶ ἔχεις ἤδη [ἀπὸ τώρα] μέσα [σου] τὴν Βασιλεία τῶν Οὐρανῶν, ὅμως, πολιορκεῖσαι ἀπὸ τὰ πάθη τῆς σαρκὸς καὶ τοῦ αἵματος [τὰ σαρκικά, δηλαδή, πάθη]; Φοβοῦμαι, μήπως, δὲν θὰ παραμείνῃ σὲ σένα τὸ Πνεῦμα τοῦ Θεοῦ, ὡς σαρκικὸς [ποὺ εἶσαι], καὶ [μήπως] τιμωρηθῇς σκληρὰ τότε κατὰ τὸν καιρὸ τῆς κρίσεως, μὲ τὸ νὰ ἀφαιρεθῇ ἀπὸ σένα ἡ σεβασμία Ἱερωσύνη, ἐπειδὴ [εἶσαι] ἀνάξιος τέτοιας Χάριτος καὶ παραπεμφθῇς στὴν αἰώνια κόλασι.

59. Ἐὰν δὲν ὑπάρχῃ ὁ φόβος τοῦ Θεοῦ μπροστὰ στὰ μάτια σου, [τότε] θεωρεῖς, ὅτι εἶναι ἕνα μικρὸ [ἄνευ σημασίας] πρᾶγμα τὸ νὰ ἱερουργῇς ἀναξίως, ἐξαπατώμενος ἀπὸ τὴν φιλαυτία [σου], καὶ εἰκάζοντας ἐξ αὐτοῦ, [ὅτι] τὸ θεῖον [εἶναι] ἀγαθό. Αὐτὸ εἶχε πάθει παλαιὰ ὁ Δαθὰν καὶ ὁ Ἀβειρών, ἕως ὅτου τοὺς κατάπιε ἡ γῆ. Ἐννόησε ὁ ἴδιος τὸ μέγεθος τοῦ πράγματος, μὲ τὸ νὰ τρομάζῃς καὶ νὰ φοβᾶσαι, ἀληθινά, αὐτὸ ἀκριβῶς, γιὰ τὸ ὁποῖο, [πράγματι], ὑπάρχει φόβος [νὰ συμβῇ καὶ σὲ σένα] καὶ ἢ ἀξίως καὶ ἀμέμπτως, γιὰ νὰ μὴν πῶ σὰν Ἄγγελος, νὰ μεταχειρίζεσαι τὸ λειτούργημα τῆς θείας

χρῆμα, ἢ στῆθι τῆς φρικτῆς λατρείας ὡς συνετός· μήπως ἐν τούτῳ καταφρονοῦντός σου, καὶ τὴν ἰδίαν παραλογιζομένου συνείδησιν διελέγχουσαν, εἴπῃς τότε κατακρινόμενος μετ᾽ ὀδύνης, ὅταν τὰ πάντα κρίνηται καὶ διευθύνηται· φόβος ὃν ἐφοβούμην ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέ μοι[51].

ξ΄. Νηφόντως καὶ πεπονημένως ὑπὲρ σεαυτοῦ πρῶτον πρόσφερε μετὰ συντριμμοῦ, καὶ δακρύων τὴν σωσίκοσμον καὶ ἱερὰν θυσίαν εἰς ἐξίλασμα. Τίνα γὰρ ἕξεις πονοῦντα ὑπὲρ σοῦ ὡσαύτως, καὶ προσφέροντα μετὰ θάνατον; διόπερ ὡς ἀγχίνους προλαβών, σαυτὸν ἐνταφίασον ἤδη καὶ προμνημόνευσον· εἰς μεσιτείαν τῆς σωτηρίας, αὐτὰ τὰ ἅγια ἐπὶ τῆς ἁγίας τραπέζης προτιθεὶς τῷ Θεῷ, καὶ τῆς ἑκουσίου ἐντεῦθεν καὶ φιλανθρώπου ἀναμιμνήσκων τούτου σφαγῆς.

ξα΄. Ἄρρητος καὶ ἀνέκφραστος ἡδονὴ τῆς ἐν πληροφορίᾳ χωριζομένης ψυχῆς τοῦ σώματος, καὶ ἀπεκδυομένης τοῦτο, ὥς περ ἱμάτιον. Τῇ γὰρ τῶν ἐλπιζομένων ἤδη

Ἱερωσύνης, ἢ ὡς συνετὸς ἀποστασιοποιήσου ἀπὸ τὴν φρικτὴ λατρεία, [δηλαδή, παῦσε νὰ τὴν τελῆς]· μήπως καταφρονώντας ἐσὺ καὶ ἐξαπατώντας τὴν συνείδησί σου, ἡ ὁποία σὲ ἐλέγχει σ᾽ αὐτό, [μήπως] πῇς τότε κατακρινόμενος μὲ πόνο, ὅταν τὰ πάντα θὰ κρίνωνται καὶ θὰ ρυθμίζωνται: ἦλθε σὲ μένα ὁ φόβος, τὸ ὁποῖον ἐφοβόμουν καὶ ἐκεῖνος, τὸν ὁποῖον ἐτρόμαζα μὲ συνάντησε.

60. Κατὰ πρῶτον, νὰ προσφέρῃς μὲ νῆψι καὶ ἐμπόνως, ὑπὲρ τοῦ ἑαυτοῦ σου, τὴν κοσμοσωτήριο καὶ ἱερὰ θυσία, μετὰ συντριβῆς [καρδίας] καὶ δακρύων, γιὰ ἐξιλέωσι [τῶν ἁμαρτιῶν σου]. Διότι ποιὸν θὰ ἔχῃς, μετὰ τὸν θάνατό [σου], νὰ κοπιάζῃ κατ᾽ αὐτὸν τὸν τρόπο καὶ νὰ προσφέρῃ γιὰ χάρι [σου, τὴν ἀναίμακτη θυσία]; Γι᾽ αὐτὸ ἀκριβῶς, ὡς ἔξυπνος [ἄνθρωπος], νὰ προλάβῃς ἀπὸ τώρα. Ἐνταφίασε τὸν ἑαυτόν σου καὶ μνημόνευσέ [τον], ἐκ τῶν προτέρων, προσφέροντας στὸν Θεὸ αὐτὰ τὰ Ἅγια, [ποὺ εὑρίσκονται] ἐπὶ τῆς Ἁγίας Τραπέζης, γιὰ μεσιτεία τῆς σωτηρίας [σου], καὶ μ᾽ αὐτὴ [τὴν προσφορά], ὑπενθυμίζοντας τὴν ἑκούσιο καὶ φιλάνθρωπο σφαγὴ Αὐτοῦ.

61. Ἄρρητη καὶ ἀνέκφραστη [εἶναι] ἡ ἡδονὴ τῆς ψυχῆς, ἡ ὁποία χωρίζεται ἀπὸ τὸ σῶμα μὲ πληροφορία [γιὰ τὴν σωτηρία της] καὶ ἀπεκδύεται αὐτό, ὅπως ἀκριβῶς τὸ ἔνδυμα. Διότι, ἕνεκα τῆς ἐπιτυχίας τῶν ἐλπιζομένων ἀγαθῶν, [γεγονός, ποὺ γνωρίζει ἀπὸ τὴν πληροφορία ποὺ

ἐπιτυχίᾳ, ἀποτίθεται τοῦτο ἀλύπως, χωροῦσα μετ᾽ εἰρήνης, πρὸς τὸν ὑψόθεν ἥκοντα φαιδρόν τε καὶ ἱλαρὸν Ἄγγελον, καὶ ἀνεμποδίστως διαπερῶσα σὺν αὐτῷ τὸν ἀέρα, μηδ᾽ ὅλως παραβλαπτομένη ἀπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἀλλ᾽ ἀνιοῦσα ἐν χαρᾷ μετὰ θάρσους, καὶ φωνῶν εὐχαριστηρίων, ἕως εἰς προσκύνησιν καταντήσῃ τοῦ ποιητοῦ, κἀκεῖθεν δέξηται τὴν ἀπόφασιν μετὰ τῶν ὁμοίων καταταγῆναι, καὶ ἰσομέτρων τῇ ἀρετῇ, μέχρι τῆς κοινῆς ἀναστάσεως.

ξβ΄. Ξένον σοι λόγον φημὶ καὶ μὴ θαύμαζε. Εἰ καὶ τῆς ἀπαθείας οὐκ ἐπιτεύξῃ διὰ τὰς τυραννούσας ἴσως προλήψεις· ἀλλ᾽ εὑρισκόμενος ἐν καιρῷ ἐξόδου εἰς τὴν τῆς ταπεινώσεως ἄβυσσον, οὐδὲν ἧττον τοῦ ἀπαθοῦς ὑπὲρ τὰς νεφέλας ἀνυψωθήσῃ. Εἰ γὰρ καὶ ὁ τῶν ἀπαθῶν θησαυρὸς ἐκ πάσης ἀρετῆς συνήθροισται, ἀλλὰ καὶ ὁ τίμιος λίθος τῆς ταπεινώσεως, πασῶν ἐστιν ὑπεράξιος. Οὐχ ἱλασμοῦ τῷ κτήτορι πρόξενος μόνον παρὰ Θεῷ, ἀλλὰ καὶ συνεισελεύσεως μετὰ

ἔλαβε], ἤδη [ἀπὸ τὴν παροῦσα ζωή], ἀποθέτει αὐτὸ [τὸ σῶμα] χωρὶς λύπη, προχωρώντας μὲ εἰρήνη πρὸς τὸν λαμπρὸ καὶ ἱλαρὸ Ἄγγελο, ὁ ὁποῖος ἔρχεται ἀπὸ ψηλὰ καὶ διαπερνώντας χωρὶς ἐμπόδια μαζὶ μ᾽ Αὐτὸν τὸν ἀέρα, χωρὶς καθόλου νὰ βλάπτεται ἀπὸ τὰ πνεύματα τῆς πονηρίας, ἀλλὰ ἀνεβαίνοντας μέσα σὲ χαρά, μὲ θάρρος καὶ εὐχαριστήριες φωνές, ἕως ὅτου φθάσῃ στὴν προσκύνησι τοῦ Δημιουργοῦ καὶ ἀπὸ Ἐκεῖνον [πλέον] θὰ δεχθῇ τὴν ἀπόφασι νὰ καταταγῇ μαζὶ μὲ τοὺς ὁμοίους [της] καὶ ἰσομέτρους, [αὐτούς, ποὺ ἔχουν τὰ ἴδια μέτρα], ὡς πρὸς τὴν ἀρετή, μέχρι τῆς κοινῆς Ἀναστάσεως.

62. Θὰ σοῦ πῶ [ἕναν] λόγο παράδοξο καὶ μὴν ἐκπλαγῇς. [Λοιπόν], ἐὰν καὶ τὴν ἀπάθεια δὲν μπορῇς νὰ [τὴν] ἐπιτύχῃς, ἐξ αἰτίας ἴσως τῶν προλήψεων [τῶν προηγουμένων κακῶν συνηθειῶν], οἱ ὁποῖες σὲ καταδυναστεύουν, ὅμως, ἐὰν εὑρίσκεσαι, κατὰ τὸν καιρὸ τῆς ἐξόδου [σου], στὴν ἄβυσσο τῆς ταπεινώσεως, θὰ ἀνυψωθῇς πάνω ἀπὸ τὶς νεφέλες, ὄχι λιγώτερο ἀπὸ τὸν ἀπαθῆ. Διότι, ἂν καὶ ὁ θησαυρὸς τῶν ἀπαθῶν ἔχει συναθροιστῇ ἀπὸ κάθε ἀρετή, [διότι ἡ ἀπάθεια εἶναι τὸ ἄθροισμα ὅλων τῶν ἀρετῶν], ὅμως καὶ ὁ πολύτιμος λίθος τῆς ταπεινώσεως εἶναι ὑπεράξιος ὅλων [τῶν ἀρετῶν]. Δὲν [εἶναι] μόνον πρόξενος ἐξιλεώσεως, ἐνώπιον τοῦ Θεοῦ, γιὰ τὸν κάτοχό [του, ὁ πολύτιμος αὐτὸς λίθος, δηλαδή, ἡ ταπείνωσι], ἀλλὰ καὶ [πρόξενος] εἰσόδου, μαζὶ μὲ

τῶν ἐκλεκτῶν ἐν τῷ νυμφῶνι τῆς αὐτοῦ βασιλείας.

ξγ΄. Ἱλασμὸν λαμβάνων παρὰ Θεοῦ τῶν πταισμάτων, δόξαζε τὸν ἀμνησίκακον ἅμα, καὶ ἀνεξίκακον, ἀσφαλιζόμενος ὑπὲρ τῶν ἑκουσίων σφαλμάτων πάσῃ δυνάμει. Εἰ γὰρ καὶ αὐτῶν ἐστιν ἐξιλέωσις μέχρις ἐξόδου τὸ καθ᾽ ἡμέραν, ἀλλὰ δοκεῖς ἀγνώμων εἶναι, τὸ [delendum] ἐν γνώσει εὐκόλως ἐξαμαρτάνειν [recte: ἐξαμαρτάνων]. Ὅμως ἀπωθουμένου σου εὐελπιστίας λίθῳ τὸν κύνα τῆς ἀπογνώσεως, καὶ ἀναιδῶς πάντοτε καὶ ἐπιμόνως ἐξαιτουμένου, ἀφεθήσονται αἱ πολλαὶ ἁμαρτίαι[52]*· ἵνα χρεωστικῶς καὶ αὐτὸς ἀγαπήσῃς πολλὰ τὸν συμπαθῆ καὶ ὑπεράγαθον ἐν τῷ αἰῶνι τῷ μέλλοντι.*

ξδ΄. Ὅταν ὑπὸ τῆς θείας ἐνεργούμενος χάριτος, ἔμπροσθεν Θεοῦ εὑρεθῇς μετὰ δακρύων ἐν τῇ προσευχῇ, κυλίου σταυροτύπως ἡπλωμένος ἐπὶ τῆς γῆς καὶ τύπτων τὴν κεφαλήν, καὶ ζήτει τὴν ἐντεῦθεν ἀπόλυσιν, ὡς φθορᾶς ἐλευθερίαν, καὶ πειρασμῶν ἀλλοτρίωσιν. Πλὴν μὴ

τοὺς ἐκλεκτούς, στὸν νυμφῶνα τῆς βασιλείας Αὐτοῦ.

63. Ὅταν λαμβάνῃς ἀπὸ τὸν Θεὸ συγχώρησι τῶν ἁμαρτημάτων [σου], δόξαζε τὸν ἀμνησίκακο καὶ συγχρόνως ἀνεξίκακο [Κύριο], προφυλάσσοντας [τὸν ἑαυτόν σου], ὅσον ἀφορᾷ τὰ ἑκούσια σφάλματά [σου], μὲ ὅλη [σου] τὴν δύναμι. Διότι, ἂν καὶ γίνεται συγχώρησι αὐτῶν καθημερινὰ μέχρι [τὸν καιρὸ] τῆς ἐξόδου, ὅμως, φαίνεσαι, ὅτι εἶσαι ἀγνώμων, ἁμαρτάνοντας ἐν γνώσει [σου] μὲ εὐκολία. Ἐάν, ὅμως, ἐσὺ ἀπομακρύνῃς τὸν σκύλο τῆς ἀπογνώσεως μὲ τὸν λίθο τῆς καλῆς ἐλπίδος καὶ παρακαλεῖς πάντοτε, μὲ ἀναίδεια καὶ ἐπιμονή, θὰ συγχωρηθοῦν οἱ πολλές [σου] ἁμαρτίες· ὥστε καὶ ἐσὺ νὰ ἀγαπήσῃς πολύ, κατὰ χρέος, τὸν Συμπαθῆ καὶ Ὑπεράγαθο [Κύριο], εἰς τὸν αἰῶνα τὸν μέλλοντα.

64. Ὅταν εὑρεθῇς μπροστὰ στὸ Θεὸ κατὰ τὴν προσευχή [σου] μὲ δάκρυα, δεχόμενος τὴν ἐνέργεια ἀπὸ τὴν θεία Χάρι, [τότε] νὰ κυλίεσαι ἁπλωμένος σταυροειδῶς πάνω στὴν γῆ κτυπώντας καὶ τὴν κεφαλὴ καὶ νὰ ζητᾷς τὴν ἀπόλυσι ἀπὸ ἐδῶ [ἀπὸ τὴν παροῦσα ζωή], ὡς ἀπελευθέρωσι ἀπὸ τὴν φθορὰ καὶ ἀποξένωσι ἀπὸ τοὺς πειρασμούς. Πλήν, ὅμως, ὄχι σύμ-

κατὰ τὸ σοὶ θελητόν, ἀλλ᾽ ὡς Θεῷ δοκεῖ· καὶ ὁπηνίκα, καὶ ὅπου· ἐπιθυμῶν μὲν ἤδη τὴν ἐκδημίαν, καὶ ἀγαπῶν, εἰ συναπῆλθες, τοῖς δάκρυσι πρὸς Κύριον, ἐν τῇ ἀβύσσῳ τῆς ταπεινώσεως, ἵνα ἔστης ἀμεριμνήσας τοῦ φλογμοῦ τοῦ πόθου καὶ τῆς δεήσεως. Στέγων δ᾽ ὅμως τὴν ἀναβολὴν ἄρτι πρὸς τὸ παρόν, ὡς κρεῖττόν τι προβλεπομένου τοῦ Θεοῦ[53]*. Τὸ δὲ ἀναστόχητον, βιαστικῶς καὶ μεθ᾽ ὅρκου ζήτει. Τί μὲν οὐ ποιῶν, τί δὲ οὐ λέγων, τί δὲ οὐ σκοπῶν, καὶ πραγματευόμενος; ὡς ἂν μὴ ἐκπέσῃς Θεοῦ.*

ξε΄. Σαρκοφόρος ὤν, μὴ πειρῶ τὰ νοητὰ ὡς ἔστιν ἀνερευνᾶν, εἰ καὶ τὸ νοερὸν τῆς ψυχῆς φέρει πρὸς ταῦτα διὰ καθαρότητος. Εἰ μὴ γὰρ τὸ ἀσώματον πνοῇ καὶ αἵματι κεκρατημένον λυθῇ τῆς παχύτητος, καὶ μετὰ τῶν νοητῶν γένηται, οὐκ ἰσχύσει ταῦτα, ὡς δεῖ, στοχάσασθαι καὶ καταλαβεῖν. Τοιγαροῦν προευτρεπιζόμενος ἐξελθεῖν τῆς ὕλης, ὡς ἔκ τινος ἄλλης δευτέρας μητρικῆς νηδύος, καὶ σκοτεινῆς, πρὸς ἐκεῖνα τὰ ἄϋλά τε καὶ φωτεινά, εὐ-

φωνα μὲ τὸ δικό σου θέλημα, ἀλλά, ὅπως φαίνεται [καλὸ] στὸ Θεό· καὶ ὅταν καὶ ὅπου [Ἐκεῖνος κρίνῃ, τότε νὰ σὲ καλέσῃ]. Ἐάν, πράγματι, συνανῆλθες μὲ τὰ δάκρυα στὸν Κύριο, [ἄγγιξες δηλαδὴ μὲ τὴν κατάνυξι τὸν Κύριο] μέσα στὴν ἄβυσσο τῆς ταπεινώσεως, ἀφ᾽ ἑνὸς θὰ ἐπιθυμῇς καὶ θὰ ποθῇς, ἀπὸ τώρα, τὴν ἐκδημία, ὥστε, ἀφοῦ θὰ γινόσουν ἀμέριμνος [γιὰ τὰ ἐδῶ πράγματα], θὰ σταματοῦσες τὴν φλόγα, τὸν πόθο καὶ τὴν δέησι [γιὰ τὴν σωτηρία σου]. Ἀφ᾽ ἑτέρου, ὅμως, νὰ ἀποδέχεσαι τὴν ἀναβολὴ τώρα πρὸς τὸ παρόν, διότι κάτι καλλίτερο θὰ κανονίζῃ ὁ Θεὸς [γιὰ σένα]. Νὰ ζητᾷς δὲ πιεστικὰ καὶ μὲ ὅρκο ἐκεῖνο, ποὺ δὲν θὰ σὲ ἀπομακρύνῃ ἀπὸ τὸν στόχο [τῆς σωτηρίας σου]. Τί μὲν νὰ μὴν κάνῃς, τί δὲ νὰ μὴ λέγῃς, τί δὲ νὰ μὴν ἐξετάζῃς καὶ [τί νὰ μὴ] μετέρχεσαι; ὥστε νὰ μὴν ἐκπέσῃς ἴσως ἀπὸ τὸν Θεό.

65. Ἀφοῦ [ἀκόμη] φέρεις σάρκα, μὴ προσπαθῇς νὰ ἐρευνᾷς τὰ νοητά, πῶς εἶναι, ἂν καὶ τὸ νοερὸ τῆς ψυχῆς ὁδηγεῖ πρὸς αὐτά, διὰ τῆς καθαρότητος. Διότι, ἐὰν τὸ ἀσώματο, τὸ ὁποῖο ἐμποδίζεται ἀπὸ τὴν ἀναπνοὴ καὶ τὸ αἷμα [ἀπὸ τὴν βιολογική μας ὕπαρξι, δηλαδή], δὲν ἐλευθερωθῇ ἀπὸ τὴν παχύτητα [τῶν σωματικῶν] καὶ δὲν ἑνωθῇ μὲ τὰ νοητά, δὲν θὰ μπορέσῃ νὰ τὰ στοχασθῇ καὶ νὰ τὰ κατανοήσῃ, ὅπως πρέπει. Ὅταν, λοιπόν, προετοιμάζεσαι νὰ ἐξέλθῃς ἀπὸ τὴν ὕλη, [δηλαδή, νὰ χωριστῇς ἀπὸ τὸ σῶμα, διὰ τοῦ θανάτου], σὰν ἀπὸ κάποια ἄλλη δεύτερη μητρικὴ γαστέρα καὶ σκοτεινή, [προχωρώντας] πρὸς ἐκεῖνα τὰ ἄϋλα καὶ ἐπιπλέον φωτεινά, νὰ εἶσαι χαρού-

θύμει δοξάζων τὸν εὐεργέτην, διαπορθμεύοντα ἡμᾶς διὰ θανάτου πρὸς τὰ ἡμῖν ἐλπιζόμενα. Καὶ νῆφε διαπαντὸς διὰ τοὺς κύκλῳ περιπατοῦντας ἀσεβεῖς[54] *δαίμονας, καὶ ἡμῶν ἀεὶ τῇ εὐδοκιμήσει ἐπιβουλεύοντας, καὶ τὴν πτέρναν ἡμῶν δολερῶς τηροῦντας*[55] *τὴν τοῦ βίου τελείωσιν, τρέμων μέχρις ἐξόδου διὰ τὸ τοῦ μέλλοντος ἄδηλον· ὡς τρεπτὸς κτισθεὶς καὶ ἀλλοιωτὸς διὰ τὸ αὐτεξούσιον.*

ξς΄. Τοτηνικαῦτα ὁ ἐχθρὸς ἀγρίοις ἡμᾶς καὶ φοβεροῖς προσυπαντᾷ πειρασμοῖς, ὅταν αἴσθηται τὴν ψυχὴν μεγάλων ἀρετῆς μέτρων ἐπιλαβομένην. Τεκμηριοῦται δὲ τοῦτο, ἀπό τε τῶν τῆς προσευχῆς ῥημάτων, καὶ τῆς ὑπὲρ τὴν ὑλικὴν δυάδα, σαρκός τε καὶ τῶν αἰσθητῶν ἀναβάσεως. Καὶ τοσοῦτον φθονερῶς ὁ μισάνθρωπος ἐκπειράζει, ὥστε ἐξαπορεῖσθαι ἡμᾶς καὶ τοῦ ζῆν[56]*. Ἀγνοεῖ δὲ ἄρα ὁ μάταιος ὅσων πρόξενος ἡμῖν γίνεται ἀγαθῶν, δοκίμους τε ἐντεῦθεν ἡμᾶς διὰ τῆς ὑπομονῆς ἐργαζόμενος, καὶ λαμπροτέρους τοὺς*

μενος, δοξάζοντας τὸν Εὐεργέτη [Θεό], ὁ ὁποῖος μᾶς διαπερνᾶ, διὰ τοῦ θανάτου, πρὸς [τὰ ἀγαθά], τὰ ὁποῖα ἐμεῖς προσδοκοῦμε. Καὶ συνεχῶς νὰ εἶσαι σὲ νῆψι, ἐξ αἰτίας τῶν ἀσεβῶν δαιμόνων, οἱ ὁποῖοι περιπατοῦν γύρω μας καὶ πάντοτε ἐπιβουλεύονται τὴν πρόοδό μας καὶ οἱ ὁποῖοι χτυποῦν μὲ δόλο καὶ τὴν πτέρνα μας, δηλαδὴ τὸ τέλος τῆς ζωῆς μας, [καὶ] νὰ τρέμῃς μέχρι τὴν ἔξοδό [σου] γιὰ τὸ ἀβέβαιο τοῦ μέλλοντος, διότι κτίσθηκες, ἕνεκα τοῦ αὐτεξουσίου, τρεπτὸς καὶ εὐμετάβλητος [δηλαδὴ μπορεῖς νὰ μεταβάλλεσαι καὶ νὰ ἀλλοιώνεσαι].

66. Τότε ὁ ἐχθρὸς μᾶς συναντᾶ μὲ ἀγρίους καὶ φοβεροὺς πειρασμούς, ὅταν ἀντιληφθῇ ὅτι ἡ ψυχὴ ἔφθασε σὲ μεγάλα μέτρα ἀρετῆς. Ἀποδεικνύεται δὲ αὐτό, καὶ ἀπὸ τὰ λόγια τῆς προσευχῆς, [ἐπειδὴ προσευχόμεθα παρακαλώντας γιὰ τὴν ἀναχώρησί μας πρὸς τὸν Κύριο] καὶ ἀπὸ τὴν ἀνάβασι πάνω ἀπὸ τὴν ὑλικὴ δυάδα, δηλαδὴ τὴν σάρκα καὶ τὰ αἰσθητά, [ἐπειδὴ χαρούμενοι καὶ δοξολογώντας ἐγκαταλείπομε τὰ ὑλικὰ τῆς παρούσης ζωῆς]. Καὶ τόσο πολὺ μᾶς πειράζει, φθονερά, ὁ μισάνθρωπος, ὥστε, ἐμεῖς νὰ βρισκώμαστε σὲ ἀμηχανία καὶ γιὰ τὴν ζωή [μας]. Ἀγνοεῖ, βέβαια, τότε ὁ μάταιος πόσων ἀγαθῶν γίνεται σὲ ἐμᾶς πρόξενος, καὶ ἐξ αὐτοῦ [τοῦ πολέμου], μᾶς καθιστᾶ δοκίμους [δοκιμασμένους], διὰ τῆς ὑπομονῆς καὶ μᾶς

στεφάνους πλέκων ἡμῖν.

ξζ΄. Οὐκ ἔστιν ἕτερος μείζων ἀγὼν τῆς σωφροσύνης καὶ παρθενίας. Καὶ ὑπ᾽ αὐτῶν γὰρ τῶν Ἀγγέλων θαυμάζεται ὁ τὴν ἀγαμίαν τιμῶν, καὶ τῶν ἀθλητῶν οὐκ ἔλαττον στεφανοῦται. Τὸ γὰρ σαρκὶ συνδεδεμένον τινὰ καὶ αἵματι, σπεύδειν μιμεῖσθαι τὴν τῶν ἀσωμάτων ἀϋλίαν διὰ τῆς ἁγνείας ἀεί, πόσων δεῖται τῶν μόχθων καὶ τῶν ἱδρώτων; καὶ τοσοῦτον ταῖς ἀληθείαις μέγα καὶ ὑψηλὸν τὸ κατόρθωμα, ὥστε μικροῦ καὶ ἀδύνατον εἶναι δοκεῖν, ὡς ὑπὲρ φύσιν· εἰ μήπου Θεὸς ἄνωθεν ἀντιλάβηται, τὸ ἀσθενὲς τῆς φύσεως ἐνισχύων, καὶ τὸ σαθρὸν ὑπερείδων, καί, τρόπον τινά, τῆς γῆς ἀνακουφίζων ἔρωτι θείῳ, καὶ ἐλπίδι τῶν ἀποκειμένων γερῶν.

ξη΄. Ὑγραινομένη σὰρξ πολυποσίᾳ καὶ πολυϋπνίᾳ, μέγα πρὸς σωφροσύνην ἐμπόδιον. Σωφροσύνη δὲ ἀληθής, καὶ ἐν τοῖς καθ᾽ ὕπνον φαντάσμασι μένει ἀκίνητος. Τὸ γὰρ προστρέχειν ἐν τούτοις τὸν νοῦν, σύμβολόν ἐστι περιφέρειν ἔτι αὐτὸν τὸ τοῦ

πλέκει λαμπροτέρους τοὺς στεφάνους.

67. Δὲν ὑπάρχει ἄλλος μεγαλύτερος ἀγώνας ἀπὸ τὴν σωφροσύνη καὶ τὴν παρθενία. Διότι θαυμάζεται κι ἀπ᾽ αὐτοὺς [ἀκόμη] τοὺς Ἀγγέλους ἐκεῖνος, ὁ ὁποῖος τιμᾶ τὴν ἀγαμία, καὶ δὲν στεφανώνεται λιγώτερο ἀπὸ τοὺς μάρτυρες. Διότι, τὸ νὰ σπεύδῃ κάποιος, ὁ ὁποῖος εἶναι συνδεδεμένος μὲ σάρκα καὶ αἷμα, νὰ μιμῆται πάντοτε, [διὰ βίου], τὴν ἀϋλία τῶν Ἀσωμάτων [Ἀγγέλων], πόσους κόπους καὶ ἱδρῶτες [δὲν] χρειάζεται; Καὶ τόσο πολύ, πραγματικά, [εἶναι] μεγάλο καὶ ὑψηλὸ τὸ κατόρθωμα, ὥστε παρ᾽ ὀλίγον νὰ φαίνεται ὅτι εἶναι καὶ ἀκατόρθωτο καὶ ὑπερφυσικό, ἐάν, τυχόν, ὁ Θεὸς δὲν βοηθοῦσε ἀπὸ ψηλά, ἐνισχύοντας τὴν ἀσθένεια τῆς φύσεως καὶ ὑποστηρίζοντας τὴν σαθρότητά [της] καί, τρόπον τινά, ἀνακουφίζοντας ἀπὸ τὴν γῆ [ἀπὸ τὸ χοϊκὸ φρόνημα], μὲ τὸν θεῖο ἔρωτα καὶ τὴν ἐλπίδα τῶν βραβείων, τὰ ὁποῖα ἐπιφυλάσσονται, [στοὺς ἀγωνιστές].

68. Ἡ σάρκα, ἡ ὁποία ὑγραίνεται, [ποὺ ζωογονεῖται], ἀπὸ τὴν πολυποσία καὶ τὴν πολυϋπνία, [εἶναι] μεγάλο ἐμπόδιο γιὰ τὴν σωφροσύνη. Ἡ ἀληθινή, βέβαια, σωφροσύνη μένει ἀκίνητη, [ἀκόμη] καὶ ἀπὸ τὶς φαντασίες κατὰ τὸν ὕπνο. Διότι, τὸ νὰ προστρέχῃ σ᾽ αὐτὲς ὁ νοῦς, εἶναι σημεῖο ὅτι αὐτὸς στὸ βάθος [του]

πάθους κατὰ βάθους ἀρρώστημα. Εἰ δὲ διὰ τῆς χάριτος καταξιωθείη καὶ σώματος δίχα, ἐν ὕπνῳ προσομιλεῖν τῷ Θεῷ, μένει ἀνέπαφος αὐτός, καὶ ψυχῆς καὶ σώματος φύλαξ ἐγρήγορος, ἠρεμούντων αὐτῶν, οἷόν τις σκύλαξ διὰ τοὺς ἐπιβούλους λύκους νήφων καὶ μὴ συλούμενος.

ξθ΄. Παράδοξόν σοι λόγον φημὶ καὶ μὴ θαύμαζε· ἔστι τι μυστήριον κρυπτῶς μεταξὺ Θεοῦ, καὶ τῆς ψυχῆς τελούμενον. Τῶν ὑψηλοτάτων δὲ τοῦτο μέτρων, καὶ τῆς τελείας καθάρσεως, καὶ ἀγάπης, καὶ πίστεως. Ὅταν ὁ ἄνθρωπος εἰς ἄκρον καταλλαγείς, ἑνωθῇ Θεῷ διά τῆς οἰκειώσεως, προσευχῇ καὶ θεωρίᾳ ἀδιαλείπτῳ. Ἐν τούτῳ Ἠλίας μὲν κλείει οὐρανὸν τῇ ἀβροχίᾳ[57]*, καὶ οὐρανίῳ φλέγει πυρὶ τὴν θυσίαν*[58]*. Μωϋσῆς δὲ τέμνει θάλασσαν*[59]*, καὶ χειρῶν ἐκτάσει τροποῦται Ἀμαλήκ*[60]*. Καὶ Ἰωνᾶς κήτους καὶ βυθοῦ διασῴζεται*[61]*. Βίᾳ γὰρ ἄγει Θεὸν τὸν φιλανθρωπότατον, οἷ καὶ βούληται, ὁ τούτου καταξιωθείς, εἰ καὶ ἐν σαρκὶ περίεστιν, ἀλλ᾽ ὑπερέβη τὸ μέτρον τῆς*

περιφέρει ἀκόμη τὴν ἀσθένεια τοῦ [σαρκικοῦ] πάθους. Ἐάν, ὅμως, διὰ τῆς [θείας] Χάριτος ἤθελε ἀξιωθῆ νὰ συνομιλῆ, κατὰ τὸν ὕπνο [του], μὲ τὸν Θεό, καὶ χωρὶς [συμμετοχὴ] τοῦ σώματος, [ἐνῶ τὸ σῶμα κοιμᾶται], αὐτὸς μένει ἀνέπαφος [ἀπὸ τὴν ἁμαρτία] καὶ ἄγρυπνος φύλακας καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος, ἐνῶ αὐτὰ ἡσυχάζουν, ὅπως ἐπὶ παραδείγματι κάποιος σκύλος, ποὺ ἐπαγρυπνεῖ γιὰ τοὺς ἐπιβούλους λύκους καὶ δὲν λεηλατεῖται.

69. Θὰ σοῦ πῶ [ἕναν] λόγο παράδοξο καὶ μὴν ἐκπλαγῆς: ὑπάρχει κάποιο μυστήριο, τὸ ὁποῖο τελεῖται κρυπτῶς μεταξὺ τοῦ Θεοῦ καὶ τῆς ψυχῆς. Αὐτό, βέβαια, [εἶναι] τῶν ὑψηλοτάτων μέτρων καὶ τῆς τελείας καθαρότητος καὶ ἀγάπης καὶ πίστεως. [Αὐτὸ συμβαίνει], ὅταν ὁ ἄνθρωπος, ἀφοῦ συμφιλιωθῆ στὸ ἔπακρον [στὸν βαθμὸ τῆς τελειότητος] μὲ τὸν Θεό, ἑνωθῆ διὰ τῆς οἰκειώσεως [μ᾽ Αὐτόν], μὲ τὴν προσευχὴ καὶ τὴν ἀδιάλειπτο θεωρία. Σ᾽ αὐτὴν [τὴν οἰκείωσι μὲ τὸν Θεὸ εὑρισκόμενοι], ὁ μὲν Ἠλίας κλείνει τὸν οὐρανὸ μὲ τὴν ἀνομβρία καὶ καταφλέγει μὲ οὐράνιο πῦρ τὴν θυσία. Ὁ Μωϋσῆς δὲ τέμνει τὴν [Ἐρυθρὰ] θάλασσα καὶ μὲ τὴν ἔκτασι τῶν χειρῶν [του] κατατροπώνει τοὺς Ἀμαληκῖτες. Καὶ ὁ Ἰωνᾶς διασώζεται ἀπὸ τὸ κῆτος καὶ τὸν βυθό. Διότι, ἐκεῖνος, ὁ ὁποῖος καταξιώθηκε αὐτοῦ [τοῦ μυστηρίου], ὁδηγεῖ τὸν Φιλανθρωπότατο Θεό, διὰ τῆς βίας, ἐκεῖ, ὅπου καὶ θέλει [τοῦ ἱκανοποιεῖ, δηλαδή, ὁ Θεὸς τὰ αἰτήματά του]. Καὶ ἐνῶ εὑρίσκεται μέσα στὴν σάρκα, ὅμως ὑπερέβη τὸ μέτρο τῆς

φθορᾶς καὶ τῆς θνητότητος, ὡς κοινὸν ὕπνον τὸν θάνατον ἐκδεχόμενος, ἡδέως παραπέμποντα πρὸς τὰ ἐλπιζόμενα.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ο΄. Αἰδούμενος τὰ δεσποτικὰ πάθη, καὶ τὴν ὑπὲρ ἡμῶν τοῦ Θεοῦ Λόγου κένωσιν, ἀλλὰ γὰρ καὶ τὴν θύσιν καὶ ἀνάκρασιν ἐν ἡμῖν τοῦ ζωοποιοῦ καὶ θείου σώματός τε καὶ αἵματος, ὧν οὐ τῆς μεθέξεως μόνον, ἀλλὰ καὶ τῆς ἱερουργίας κατηξιώμεθα, ταπείνου σεαυτὸν ὡσεὶ καὶ σφαγῆς πρόβατον, ὑπερέχοντάς σου πάντας ἐν ἀληθείᾳ ἡγούμενος. Καὶ σπεῦδε μή τινος πλήττειν συνείδησιν, παραλόγως μάλιστα. Ἁγιασμοῦ δὲ χωρίς, μὴ κατατόλμα τῆς τῶν ἁγίων προσψαύσεως, ἵνα μὴ ὡσεὶ χόρτος φλεχθεὶς τῷ θείῳ πυρὶ καὶ ὡσεὶ κηρὸς τακείς, ἀνταναιρεθῇς[62].

οα΄. Ναὶ μήν, ἐὰν ὡς δεῖ μεταχειρίζῃ τὴν τῆς θείας, καὶ σεβασμίας ἱερουργίας φρικτὴν τελεταρχίαν, καὶ μὴ καθάπτηταί σου τὸ συνει-

φθορᾶς καὶ τῆς θνητότητος, ἀναμένοντας τὸν θάνατο σὰν κοινὸ ὕπνο, ποὺ θὰ τὸν ἀποστείλῃ πρὸς τὰ ἐλπιζόμενα [ἀγαθά].

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

70. Σεβόμενος τὰ δεσποτικὰ πάθη καὶ τὴν κένωσι τοῦ Θεοῦ Λόγου γιὰ χάρι μας, ἀλλά, βέβαια, καὶ τὴν θυσία καὶ τὸν συγκερασμὸ μέσα μας τοῦ ζωοποιοῦ καὶ θείου σώματος καὶ αἵματος, τῶν ὁποίων καταξιωνόμεθα, ὄχι μόνον τῆς μεθέξεως [τῆς θείας δηλαδὴ μεταλήψεως] ἀλλὰ καὶ τῆς ἱερουργίας [αὐτῶν, δηλαδὴ ἀξιωνόμεθα νὰ τὰ ἱερουργοῦμε, σεβόμενος λοιπὸν αὐτά], νὰ ταπεινώνῃς τὸν ἑαυτόν σου καὶ σὰν πρόβατο γιὰ σφαγή, θεωρώντας ὅτι, ἀληθινά, ὅλοι ὑπερέχουν ἀπὸ σένα. Καὶ φρόντιζε νὰ μὴ πληγώνῃς κανενὸς τὴν συνείδησι καὶ μάλιστα παράλογα. Δίχως δὲ ἁγιότητα, νὰ μὴν ἀποτολμᾷς τὸ ἄγγιγμα τῶν Ἁγίων, γιὰ μὴν ἀφανισθῇς, φλεγόμενος σὰν χόρτο ἀπὸ τὸ θεῖο πῦρ καὶ λειώνοντας σὰν κερί.

71. Πράγματι, ἐὰν ἐπιτελῇς τὴν φρικτὴ τελετουργία τῆς θείας καὶ σεβασμίας Ἱερουργίας, ὅπως πρέπει, καὶ δὲν προσβάλλεται ἡ συνεί-

δός, ἐν οὐδενὶ τῶν πάντων, ὡς ἐκ ταύτης ἐλπίσῃς τὴν σωτηρίαν. Ὑπὲρ γὰρ πᾶσαν ἐργασίαν καὶ θεωρίαν ἡ ἐντεῦθεν προσγένηταί σοι ὠφέλεια· εἰ δὲ μὴ οὕτως, ὄψει αὐτός, καὶ κρεῖττον πάντως ἀποσχέσθαι, δι' ἐπιγνωμοσύνης τῆς οἰκείας ἀσθενείας, τοῦ τῆς ἱερωσύνης ὕψους, ἢ ἀτελῶς καὶ ἀνάγνως ταύτης ἐπειλημμένον. Καὶ τοῖς πολλοῖς δοκοῦντα εἶναι μετέωρον, πτῶμα κεῖσθαι κλαυθμοῦ ἄξιον ἐξ ἀναξιότητος.

οβ'. Τόσον ὑπέρκειται ἡ τῆς σεβασμίας ἱερωσύνης λατρεία, καὶ πρὸς τὸ θεῖον ἐξίλασις καὶ δυσώπησις, πάσης ψαλμῳδίας καὶ προσευχῆς, ὅσον ἀστέρων ἥλιος. Αὐτὸν γὰρ ἐκεῖνον τὸν Μονογενῆ θυσιάζομεν καὶ προτίθεμεν, καὶ προσάγομεν εἰς παράκλησιν, τὸν ὑπὲρ ἁμαρτωλῶν δωρεὰν σφαγέντα διὰ φιλανθρωπίαν. Οὐχ ὑπὲρ ἁμαρτάδων ἀφέσεως μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν ἂν δεώμεθα πρὸς τὸ συμφέρον πάντως, εἰ μὴ ἡ συνείδησις βεβηλοῦται. Καὶ τὸ μὲν σῶμα ἡνωμένον θεότητι, ὥς περ τις ἄνθραξ φλέγει πᾶσαν

δησί σου ἀπὸ τίποτε, ἐξ ὅλων [τῶν πραγμάτων, τότε] πραγματικὰ νὰ ἐλπίσῃς, ὁπωσδήποτε, τὴν σωτηρία ἀπ' αὐτὴν [τὴν Ἱερουργία]. Διότι περισσότερο ἀπὸ κάθε [ἄλλη] ἐργασία καὶ θεωρία, ἡ ὠφέλεια θὰ σοῦ προέλθῃ ἀπ' αὐτὴν [τὴν Ἱερουργία]. Ἐὰν δὲ δὲν [τελῆται] ἔτσι, [ὅπως πρέπει, ἐσύ], αὐτὸς ὁ ἴδιος θὰ δώσῃς λόγο γι' αὐτό· καὶ εἶναι καλλίτερο πάντως νὰ ἀπομακρυνθῇς ἀπὸ τὸ ὕψος τῆς Ἱερωσύνης, ἀπὸ ἐπίγνωσι τῆς ἀδυναμίας σου, παρὰ νὰ ἔχῃς κρατημένο [τὸ ἀξίωμα], δίχως τελειότητα καὶ ἁγνότητα. Καὶ ἐνῶ ἀπὸ τοὺς πολλοὺς θεωρεῖσαι ὅτι εἶσαι πολὺ ψηλά, [ἐσὺ] νὰ κείτεσαι [κάτω] πτῶμα ἄξιο κλαυθμοῦ, ἕνεκα τῆς ἀναξιότητός [σου].

72. Τόσο πολὺ ὑπερέχει ἀπὸ κάθε ψαλμωδία καὶ προσευχή, ἡ λατρεία [ποὺ προσφέρεται], διὰ τῆς σεβασμίας Ἱερωσύνης, καὶ ἡ ἐξιλέωσι καὶ ἡ ἰσχυρὴ παράκλησι πρὸς τὸ θεῖον, ὅσο [ὑπερέχει] ἀπὸ τὰ ἀστέρια ὁ ἥλιος. Διότι [κατὰ τὴν λατρεία τῆς θείας Ἱερουργίας], θυσιάζομε καὶ προβάλλομε καὶ προσφέρομε, πρὸς παρηγορία [μας], Αὐτὸν τὸ ἴδιο τὸν Μονογενῆ [Υἱὸ τοῦ Θεοῦ], ὁ ὁποῖος θυσιάστηκε δωρεὰν [δίχως ἀνταμοιβή] ὑπὲρ τῶν ἁμαρτωλῶν, ἕνεκα φιλανθρωπίας. [Καὶ δὲν προσφέρομε τὴν θεία Ἱερουργία] μόνον ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ ὑπὲρ ἐκείνων, τὰ ὁποῖα, ὁπωσδήποτε, εἶναι δυνατὸν νὰ ἔχωμε ἀνάγκη γιὰ τὸ συμφέρον μας, ἐάν, [βέβαια], ἡ συνείδησί [μας] δὲν καταπατᾶται. Καὶ τὸ μὲν [θεῖο] Σῶμα, ἑνωμένο μὲ τὴν Θεότητα, ὅπως ἀκριβῶς ἕνας [φλεγόμενος] ἄνθρακας, καταφλέγει ὅλη

ὕλην ἀνομημάτων, καὶ τὰς καρδίας φωτίζει τῶν μετὰ πίστεως προσιόντων. Ὡσαύτως δὲ καὶ τὸ θεῖον αἷμα καὶ τίμιον, ῥύπτει καὶ καθαίρει παντὸς ὑσσώπου ἐπέκεινα κηλῖδα πᾶσαν καὶ σπῖλον, τῶν ὅση δύναμις καθαρῶς καὶ οὐκ ἀνάγνως τῶν ἁγίων κατατολμώντων, εἴπου τις ἐναποληφθείη οὕτω συμβάν.

ογ΄. Οὐ τὸ σῶμα τὸ ἀναληφθὲν τοῦ Θεοῦ Λόγου, ὥς τις ἔφησε τῶν ἁγίων, ἐξ οὐρανοῦ κατιὸν θύεται, ἀλλ᾽ αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος μεταβάλλεται εἰς σῶμα καὶ αἷμα Χριστοῦ, πίστει, καὶ φόβῳ, καὶ πόθῳ, καὶ εὐλαβείᾳ, ὑπὸ τῶν καταξιωθέντων τῆς θείας ἱερωσύνης ἱεροτελεστούμενος καὶ τὴν ἐκ τούτου εἰς τοῦτο ἄμειψιν δεχόμενος, ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Παναγίου Πνεύματος. Οὐχὶ γινόμενος ἕτερον σῶμα παρ᾽ ἐκεῖνο τὸ δεσποτικόν, ἀλλ᾽ εἰς τοῦτο μεταβαλλόμενος, ἀφθαρτίζων, οὐχὶ φθειρόμενος. Πόσης οὖν δεῖται τῆς καθαρότητος καὶ τῆς ἁγιότητος ὁ ἱερεύς, θεϊκοῦ ψαύων σώματος; καὶ παῤῥησίας ὁποίας, μεσίτης

τὴν ὕλη τῶν ἁμαρτημάτων καὶ φωτίζει τὶς καρδίες ἐκείνων, οἱ ὁποῖοι προσέρχονται μὲ πίστι. Τὸ δὲ θεῖο καὶ Τίμιο Αἷμα, ὁμοίως, ρύπτει καὶ καθαρίζει, περισσότερο ἀπὸ κάθε ὕσσωπο, κάθε κηλῖδα καὶ μολυσμὸ ἐκείνων, οἱ ὁποῖοι ἀποτολμοῦν [νὰ προσέρχωνται] στὰ Ἅγια, ὅσο δύνανται, μὲ καθαρότητα καὶ ὄχι χωρὶς ἁγνότητα, ἐὰν τυχόν, ἤθελε κανεὶς βρεθῇ σὲ στενότητα συνθηκῶν, ὥστε κατ᾽ αὐτὸν τὸν τρόπο νὰ συμβῇ [κάποια κηλῖδα ἢ μολυσμός].

73. Ὅπως εἶπε κάποιος ἀπὸ τοὺς Ἁγίους, δὲν θυσιάζεται, κατερχόμενο ἀπὸ τὸν Οὐρανό, τὸ Σῶμα τοῦ Θεοῦ Λόγου, τὸ ὁποῖο ἀναλήφθηκε [στὸν οὐρανό], ἀλλὰ ὁ ἴδιος ὁ Ἄρτος καὶ ὁ Οἶνος μεταβάλλεται σὲ Σῶμα καὶ Αἷμα Χριστοῦ, ὅταν ἱερουργῆται μὲ πίστι καὶ φόβο καὶ πόθο καὶ εὐλάβεια, ἀπὸ ἐκείνους, ποὺ ἀξιώθηκαν [τοῦ ἀξιώματος] τῆς θείας Ἱερωσύνης καὶ δέχεται τὴν μεταβολὴ ἀπ᾽ αὐτὸ [ποὺ εἶναι, δηλαδή, ἄρτος καὶ οἶνος] σὲ τοῦτο, [σὲ Σῶμα, δηλαδή, καὶ Αἷμα Χριστοῦ], μὲ τὴν ἐνέργεια καὶ τὴν ἐπιφοίτησι τοῦ Παναγίου Πνεύματος. Χωρὶς νὰ γίνεται [ὁ Ἄρτος καὶ ὁ Οἶνος] ἄλλο Σῶμα ἀπὸ ἐκεῖνο τὸ Δεσποτικό, ἀλλὰ μεταβάλλεται στὸ ἴδιο [τὸ Σῶμα τοῦ Δεσπότου Χριστοῦ], ἀφθαρτίζοντας [προσφέροντας ἀφθαρσία] καὶ χωρὶς νὰ φθείρεται. [Ἑπομένως], ἀπὸ πόση καθαρότητα καὶ ἁγνότητα ἔχει ἀνάγκη ὁ Ἱερεύς, ὅταν ἐγγίζῃ τὸ θεϊκὸ Σῶμα; Καὶ ἀπὸ ποία παρρησία, ἀφοῦ γίνεται μεσίτης μεταξὺ

Θεοῦ καὶ ἀνθρώπων γινόμενος, καὶ συμπρεσβευτὰς περιλαμβάνων σὺν τῇ Πανάγνῳ καὶ Θεομήτορι, πάσας τε τὰς ἐπουρανίους τῶν Ἀγγέλων δυνάμεις καὶ τοὺς ἀπ᾽ αἰῶνος ἁγίους; Ἐμοὶ δοκεῖ, ἀγγελικῆς αὐτὸν ἢ ἀρχαγγελικῆς ὥς περ δὴ τῆς ἀξίας, οὕτω χρήζειν καὶ τῆς οἰκειότητος.

οδ'. Σημειωτέον σοι, ὦ Πισήνιε, ὅτι διὰ τοῦτο ἀνακεκαλυμμένα πρόκεινται τὰ ἅγια, μετὰ τὸ τῆς πίστεως σύμβολον, ἐπὶ τῆς ἁγίας τραπέζης μέλλοντα ἁγιάζεσθαι, ὡς ἂν δέηται τρόπον τινὰ ὑπὲρ τῶν προσφερόντων, καὶ κράζειν ἀλαλήτοις φωναῖς πρὸς τὸν ἐν οὐρανοῖς κατοικοῦντα. Ὁρῶν γὰρ ἐκεῖνος οὐ παρορᾷ· καὶ βλέπων οὐ παραβλέπει, ἐνθυμούμενος τὴν ὑπὲρ τῶν ἁμαρτωλῶν ἑκούσιον κένωσιν, καὶ ἄῤῥητον συγκατάβασιν, καὶ φιλάνθρωπον σφαγήν. Οὐ γὰρ δεδικαιωμένοις οὖσιν ἡμῖν, τὸ λύτρον ἐχαρίσατο διὰ τοῦ παθεῖν, καὶ τὴν σωτηρίαν, ὁ ἀγαθός τε καὶ ἀνεξίκακος, ἀλλὰ προσκεκρουκότας ἠλέησε, καὶ ἀνεκαλέσατο.

Θεοῦ καὶ ἀνθρώπων καὶ περιλαμβάνει συμπρεσβευτές, μαζὶ μὲ τὴν Πάναγνο καὶ Θεομήτορα, καὶ ὅλες τὶς ἐπουρανίους δυνάμεις τῶν Ἀγγέλων καὶ τοὺς ἀπ᾽ αἰῶνος Ἁγίους; Σ᾽ ἐμένα φαίνεται, ὅτι, ὅπως ἀκριβῶς αὐτὸς [κατέχει] βέβαιο Ἀγγελικὸ ἢ Ἀρχαγγελικὸ τὸ ἀξίωμα, κατὰ τὸν ἴδιο τρόπο, χρειάζεται καὶ τὴν οἰκειότητα [τὴν συγγένεια μὲ τοὺς Ἀγγέλους].

74. Πρέπει νὰ σημειώσης, Πισήνιε, [ὁ ἐκ Πίσης ὁρμώμενος, κι αὐτό]: ὅτι γι᾽ αὐτό, μετὰ τὸ Σύμβολο τῆς Πίστεως, τὰ Ἅγια, τὰ ὁποῖα πρόκειται νὰ ἁγιασθοῦν προτίθενται ἐπὶ τῆς Ἁγίας Τραπέζης, χωρὶς νὰ ἔχουν καλυφθῆ [μὲ τὸν Ἀέρα], σὰν νὰ δέωνται, τρόπον τινά, καὶ νὰ κράζουν μὲ ἀλάλητες φωνὲς πρὸς Ἐκεῖνον, ποὺ κατοικεῖ στοὺς οὐρανοὺς ὑπὲρ αὐτῶν, οἱ ὁποῖοι τὰ προσφέρουν. Διότι, ἀτενίζοντας [Αὐτά], Ἐκεῖνος δὲν παραθεωρεῖ [τὶς δεήσεις] καὶ βλέποντάς [τα] δὲν παραβλέπει, ἐνθυμούμενος τὴν ἑκούσιο κένωσί [Του] ὑπὲρ τῶν ἁμαρτωλῶν καὶ τὴν ἀνέκφραστη συγκατάβασι καὶ τὴν φιλάνθρωπο σφαγή [Του]. Διότι, δὲν μᾶς χάρισε τὴν ἀπολύτρωσι καὶ τὴν σωτηρία ὁ Ἀγαθὸς καὶ Ἀνεξίκακος, διὰ τοῦ Πάθους [Του], ἐπειδὴ εἴμαστε δικαιωμένοι, ἀλλὰ [μᾶς] ἐλέησε καὶ μᾶς ἀνεκάλεσε [μᾶς κάλεσε πάλι στὸν Παράδεισο], ἐνῶ εἴχαμε γίνει ἐχθροί [Του].

οε΄. Κἂν καθαρᾶς ἐπιμελούμενος προσευχῆς ἑνούσης Θεῷ ἀΰλως τὸν ἄϋλον νοῦν, καὶ ἔφθασας ὡς ἐν ἐσόπτρῳ ἰδεῖν τὴν διαδεξαμένην σε λῆξιν μετὰ τὸ τέλος τῆς ἐνταῦθα ζωῆς, ὡς τὸν τοῦ Πνεύματος δεξάμενος ἀῤῥαβῶνα[63]*, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν ἐντὸς κεκτημένος*[64] *ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ, μὴ ἀνάσχῃ ἀπολυθῆναι τῆς σαρκὸς χωρὶς προγνώσεως τοῦ θανάτου· ἀλλὰ καὶ δέου λιπαρῶς περὶ τούτου, καὶ ἔσο εὔελπις τούτου τυχεῖν, τῆς ἐξόδου πλησίον, εἰ εἴη συμφέρον. Πρὸς ἣν εὐτρεπίζου διηνεκῶς, δειλίαν πᾶσαν ἀποῤῥιπτούμενος. Ὡς ἂν τὸν ἀέρα διαπεράσας, καὶ τὰ τῆς πονηρίας διαδρὰς πνεύματα, θαρσαλέως καὶ ἀδειμάντως εἴσω γένῃ τῶν οὐρανίων ἁψίδων, τάξεσιν ἀγγελικαῖς συνταττόμενος, καὶ προσθήκη τοῖς ἀπ᾽ αἰῶνος ἐκλεκτοῖς καὶ δικαίοις γινόμενος καὶ τὸ θεῖον ὁρῶν, ὅσον ἐφικτόν· εἰδ᾽ οὖν, ἀλλὰ τὰ ὑπ᾽ αὐτῷ ἀγαθά· καὶ τὸν τοῦ Θεοῦ Λόγον κατανοῶν ἀκτινοφωτοβολοῦντα τὰ ὑπερουράνια,*

75. Κι ἂν [ἀκόμη] ἐπιμελῆσαι τὴν καθαρὰ προσευχή, ἡ ὁποία ἑνώνει, μὲ ἄϋλο τρόπο, τὸν ἄϋλο νοῦ μὲ τὸν Θεό, καὶ ἔφθασες νὰ δῇς, σὰν σὲ καθρέπτη, τὴν κατάληξι, ἡ ὁποία θὰ σὲ διαδεχθῇ, μετὰ τὸ τέλος τῆς παρούσης ζωῆς, ἐπειδὴ δέχθηκες τὸν ἀρραβῶνα τοῦ [Ἁγίου] Πνεύματος καὶ ἔχεις ἀποκτήσει ἐντός [σου] τὴν βασιλεία τῶν Οὐρανῶν, μὲ κάθε αἴσθησι καὶ πληροφορία, μὴν ἀνεχθῇς νὰ ἀπολυθῇς ἀπὸ τὴν σάρκα, χωρὶς πρόγνωσι τοῦ θανάτου· ἀλλὰ καὶ νὰ δέεσαι ἐπιμόνως γι᾽ αὐτὸ καὶ νὰ ἔχῃς καλὴ ἐλπίδα, ὅτι θὰ ἐπιτύχῃς, ὁπωσδήποτε, αὐτό, πλησίον τῆς ἐξόδου [σου], ἐὰν ἤθελε εἶναι συμφέρον. Νὰ προπαρασκευάζεσαι συνεχῶς γι᾽ αὐτὴν [τὴν ἔξοδό σου], ἀπορρίπτοντας κάθε δειλία. Κατ᾽ αὐτὸν τὸν τρόπο, ἀφοῦ διαπεράσῃς τὸν ἀέρα καὶ διαφύγῃς τὰ πνεύματα τῆς πονηρίας, θαρραλέα καὶ ἄφοβα, θὰ μπορέσῃς νὰ εὑρεθῇς μέσα στὶς οὐράνιες ἁψῖδες, [καὶ] θὰ συνταχθῇς μὲ τὶς Ἀγγελικὲς τάξεις καὶ θὰ προστεθῇς στοὺς ἀπ᾽ αἰῶνος ἐκλεκτοὺς καὶ δικαίους καὶ θὰ θεωρῇς, ὅσον [εἶναι] δυνατόν, τὸ Θεῖον· γνωρίζοντας βέβαια, [ὄχι τὴν οὐσία τοῦ Θείου], ἀλλὰ τὰ ἀγαθὰ [τὰ ὁποῖα προέρχονται] ἀπ᾽ Αὐτό· καὶ τὸν Λόγο τοῦ Θεοῦ θὰ κατανοῇς νὰ ἀκτινοβολῇ τὰ ὑπερουράνια [τὶς ἄκτιστες θεῖες ἐνέργειες],

λατρευόμενον μιᾷ προσκυνήσει, μετὰ τῆς ἀχράντου σαρκὸς αὐτοῦ, ἅμα τῷ Πατρί, καὶ τῷ Πνεύματι, ὑπὸ πάσης ἐπουρανίου στρατιᾶς, καὶ τῶν ἁγίων ἁπάντων. Ἀμήν.	νὰ λατρεύεται μαζὶ μὲ τὴν ἄχραντο Σάρκα Του, συγχρόνως μὲ τὸν Πατέρα καὶ τὸ [Ἅγιο] Πνεῦμα, μὲ μία προσκύνησι ἀπὸ ὅλη τὴν ἐπουράνιο στρατιὰ καὶ ὅλους τοὺς Ἁγίους. Ἀμήν.

Σ Η Μ Ε Ι Ω Σ Ε Ι Σ - Σ Χ Ο Λ Ι Α

Π Α Ρ Α Π Ο Μ Π Ε Σ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

1 Ψαλμ. 38, 6.
2 Ψαλμ. 9, 36.
3 Πρβλ. Ψαλμ. 17, 12.
4 Πρβλ. Α΄ Κορ. 13, 12.
5 Α΄ Κορ. 3, 2.
6 Δ΄ Βασ. 2, 11.
7 Δαν. (Βὴλ καὶ Δράκων) 36.
8 Πρβλ. Α΄ Θεσσ. 4, 17.
9 Γ΄ Βασ. 19, 12.
10 Πρβλ. Λουκ. 17, 21.
11 Ἠσ. 6, 6.
12 Λουκ. 2, 29.
13 Β΄ Βασ. 6, 6-7.
14 Ἔξοδ. 23, 21.
15 Πρβλ. Γένεσ. 18, 27.
16 Ῥωμ. 6, 5.
17 Β΄ Κορ. 5, 15.
18 Πρβλ. Ματθ. 7, 7.
19 Φιλιππ. 3, 8.
20 Ψαλμ. 28, 7.
21 Γένεσ. 3, 6.
22 Γένεσ. 2, 15.
23 Πρβλ. Παροιμ. 6, 6.
24 Ἰω. 6, 68.
25 Πρβλ. Ἑβρ. 12, 14.
26 Ματθ. 10, 37.
27 Α΄ Κορ. 15, 50.
28 Πρβλ. Γαλ. 2, 19-20.
29 Πρβλ. Γαλ. 5, 25.
30 Ψαλμ. 40, 12.
31 Πρβλ. Ματθ. 24, 20.
32 Πρβλ. Μάρκ. 12, 41-43.
33 Ἰω. 11, 17-44.
34 Πράξ. 5, 1-10.
35 Πρβλ. Β΄ Τιμόθ. 2, 21, Πράξ. 9, 15.
36 Πρβλ. Ῥωμ. 8, 33-34.
37 Πράξ. 10, 15.
38 Πρβλ. Ματθ. 11, 30.
39 Β΄ Τιμόθ. 2, 15.
40 Πρβλ. Φιλιππ. 2, 12.
41 Δευτερ. 9, 3, Ἑβρ. 12, 29.
42 Δαν. 3, 17-18.
43 Γένεσ. 19, 17, Γένεσ. 19, 29.
44 Ἔξοδ. 3, 2.
45 Πρβλ. Ματθ. 22, 12.
46 Α΄ Κορ. 15, 50.
47 Γένεσ. 6, 3.
48 Πρβλ. Ματθ. 24, 52, Λουκ. 12, 46.
49 Πρβλ. Ψαλμ. 35, 2.
50 Ἀριθ. 16, 31-33.
51 Ἰὼβ 3, 25.
52 Πρβλ. Λουκ. 7, 47.
53 Πρβλ. Ἑβρ. 11, 40.
54 Πρβλ. Ψαλμ. 11, 9.
55 Πρβλ. Γένεσ. 3, 15.
56 Πρβλ. Β΄ Κορ. 1, 8.
57 Γ΄ Βασ. 17, 1.
58 Γ΄ Βασ. 18, 36-38.
59 Ἔξοδ. 14, 21.
60 Ἔξοδ. 17, 11-13.
61 Ἰωνᾶς 2, 2-11.
62 Ψαλμ. 57, 9.
63 Β΄ Κορ. 5, 5.
64 Πρβλ. Λουκ. 17, 21.

ΣΗΜΕΙΩΣΕΙΣ

Ἠλίας ὁ Θεῖος οὗτος Πατήρ, ὁ καὶ Ἔκδικος ἐπονομαζόμενος, πότερον Ἠλίας ὁ Κρήτης, ὁ καὶ τῶν τοῦ Γρηγορίου θεολογικῶν λόγων σχολιαστής, οὗτός ἐστιν, ἢ ἕτερός τις, ἡμῖν ἄδηλον. Ὅσον γε μὴν ἐκ τῶν παρόντων αὐτοῦ κεφαλαίων, ὡς ἔκ τινων ἀποτελεσμάτων τὸν ποιητὴν ἐπιγνῶναι, ἀνὴρ ἦν, εἴ τις καὶ ἄλλος σοφίας εἰς ἄκρον ἐληλακώς, τῆς τε θύραθεν, καὶ πολλῷ μᾶλλον τῆς καθ' ἡμᾶς τε, καὶ κρείττονος. Τήν τε γὰρ ἐν λόγοις δύναμιν, καὶ τὸ περιὸν αὐτῷ τῆς ἀρετῆς κλέος ῥᾳδίως ἂν ἐν τούτοις κριτικὸς ἀνὴρ καταμάθοι, ἃ δὴ καὶ ἡμεῖς κατιδόντες, καὶ τὸν ἐν αὐτοῖς πολύχουν καρπὸν τῆς ἠθικῆς, καὶ γνωστικῆς διδασκαλίας θαυμάσαντες, ναὶ μήν, καὶ ἡσθέντες οἷόν τισι φύλλοις σκέπην τε τῷ καρπῷ, καὶ ὄψιν παρεχομένοις οὐκ ἄωρον,

Ὁ Ἅγιος αὐτὸς Πατὴρ Ἠλίας, ὁ ὁποῖος ἐπονομάζεται καὶ Ἔκδικος[α'], ἂν αὐτὸς εἶναι ὁ Ἠλίας, ὁ [καταγόμενος] ἀπὸ τὴν Κρήτη, ὁ σχολιαστὴς καὶ τῶν θεολογικῶν λόγων τοῦ [Ἁγίου] Γρηγορίου [τοῦ Θεολόγου] ἢ κάποιος ἄλλος, μᾶς [εἶναι] ἄδηλο. Τουλάχιστον ὅμως, ἀπ' αὐτὰ ἐδῶ τὰ κεφάλαιά του, σὰν ἀπὸ κάποια ἀποτελέσματα, [μποροῦμε] νὰ γνωρίσωμε καλά, πόσο ὁ συντάκτης [τους] ἦταν ἄνθρωπος, ὁ ὁποῖος ἔχει προχωρήσει, περισσότερο ἀπὸ κάθε ἄλλον, στὸ ἄκρον τῆς σοφίας καὶ τῆς θύραθεν [τῆς κοσμικῆς] καὶ πολὺ περισσότερο μάλιστα τῆς δικῆς μας, [τῆς χριστιανικῆς], ἡ ὁποία [εἶναι] καὶ ἡ ἀνώτερη. Διότι κάθε ἄνθρωπος, ποὺ διαθέτει κρίσι, εἶναι δυνατὸν εὔκολα νὰ ἀντιληφθῇ σ' αὐτὰ [τὰ κεφάλαια] καὶ τὴν δύναμι μέσα στοὺς λόγους [τοῦ Ἁγίου Ἠλία] καὶ τὴν δόξα τῆς ἀρετῆς, ποὺ τὸν περιβάλλει, τὰ ὁποῖα βεβαίως καὶ ἐμεῖς, ἐπειδὴ παρατηρήσαμε καὶ θαυμάσαμε τὸν ἄφθονο καρπὸ τῆς ἠθικῆς καὶ γνωστικῆς διδασκαλίας [τους] καὶ ἀπολαύσαμε, σὰν κάποια φύλλα, τὰ ὁποῖα προσφέρουν στὸν καρπὸ προστασία καὶ ὄχι ἄγουρη ὄψι, ἐννοῶ [δηλαδή, ἐπειδὴ ἀπολαύσαμε], τὶς

ταῖς τῶν μεταφορῶν φημί, καὶ λέξεων χάρισιν, αἷς εἰς τὸ ἄριστον ὁ Πατὴρ αὐτῶν ἐχαρίτωσε, τούτοις τοὺς φιλαναγνώστας φιλοφρονούμεθα, καὶ εἰσελθεῖν αὐτοὺς παρακαλοῦμεν ἐν ἀγάπῃ, τὸν εὐανθῆ τουτονὶ καὶ εὐώδη λειμῶνα, ὡς οὕτως ἐπιγράφεται, πολλαῖς μὲν καὶ ὑψηλαῖς ἀναδενδράσι τῶν πνευματικῶν λογίων πεπυκασμένον, ῥείθροις δὲ θείας σοφίας ποτιμωτάτοις κατάρρυτον· καὶ τῇ σκιᾷ τούτου ὑποκαθίσαι· ὡς ἂν καὶ αὐτοί, οὐ μόνον τῶν τῆς πρακτικῆς ῥοῶν ἀπολαύσωσιν, ἀλλὰ καὶ τῶν ἀκροδρύων τῆς θεωρίας, ᾀσματικῶς εἰπεῖν, ζακόρως κατατρυφήσωσιν.

χάρες τῶν μεταφορῶν καὶ τῶν λέξεων, μὲ τὶς ὁποῖες ὁ Πατέρας αὐτῶν [τῶν κεφαλαίων τὰ] στόλισε [ἔξοχα], κατὰ τρόπο ἄριστο, προτρέπομε εὐγενῶς τοὺς φιλαναγνῶστες [νὰ ἐγκύψουν] σ᾽ αὐτὰ καὶ τοὺς παρακαλοῦμε νὰ εἰσέλθουν μὲ ἀγάπη σ᾽ αὐτὸν ἐδῶ τὸν ὁλάνθιστο καὶ εὐώδη κῆπο, ὁ ὁποῖος ἔτσι, [ὡς τέτοιος], χαρακτηρίζεται, ἐπειδὴ εἶναι πυκνὰ γεμάτος, ἀφ᾽ ἑνὸς ἀπὸ πολλὲς καὶ ὑψηλὲς κληματαριὲς πνευματικῶν λόγων, ἀφ᾽ ἑτέρου κατακλυσμένος ἀπὸ τὶς πλέον εὐχάριστες πρὸς πόσι ροὲς τῆς θείας σοφίας. Καὶ [τοὺς παρακαλοῦμε] νὰ καθίσουν κάτω ἀπὸ τὴν σκιὰ αὐτοῦ [τοῦ κήπου]· ὥστε καὶ αὐτοὶ οἱ ἴδιοι, ὄχι μόνο νὰ ἀπολαύσουν τὶς ροὲς τῆς πρακτικῆς [ἀρετῆς] ἀλλὰ καὶ νὰ κατατρυφήσουν, ἱεροπρεπῶς, στὰ καρποφόρα δένδρα τῆς θεωρίας, γιὰ νὰ μιλήσωμε σύμφωνα μὲ τὸ Ἆσμα.



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΗΛΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΕΚΔΙΚΟΥ

ΛΟΓΟΙ

Ι

ΑΝΘΟΛΟΓΙΟΝ ΓΝΩΜΙΚΟΝ ΦΙΛΟΣΟΦΩΝ ΣΠΟΥΔΑΙΩΝ

ΠΗΓΗΝ ΝΑΟΥΣΑΝ, ΗΘΙΚΩΝ ΔΡΟΣΩΝ ΛΟΓΟΝ ΕΝΤΑΥΘ' ΕΦΕΥΡΟΙΣ ΕΙ ΜΕΤΕΛΘῌΣ ΓΝΗΣΙΩΣ

ΠΗΓΗ, ΠΟΥ ἈΝΑΒΛΥΖΕΙ ΛΟΓΟ /ΓΕΜΑΤΟ/ ΑΠΟ ΗΘΙΚΕΣ ΔΡΟΣΟΥΣ, ΘΑ ΜΠΟΡΟΥΣΕΣ ΕΔΩ ΝΑ ΕΞΕΥΡῌΣ, ΕΑΝ /ΤΗΝ/ ΠΡΟΣΕΓΓΙΣῌΣ ΜΕ ΓΝΗΣΙΟΤΗΤΑ

α'. Ἔξεστι παντὶ Χριστιανῷ τῷ ὀρθῶς πιστεύοντι εἰς τὸν Θεόν, μὴ ἀμεριμνεῖν, ἀλλὰ πάντοτε προσδοκᾶν, καὶ ἐκδέχεσθαι πειρασμόν· ἵν' ὅταν ἔλθῃ, μὴ ξενίζηται μηδὲ ταράσσηται, ἀλλ' εὐχαρίστως ὑπομένῃ τὸν κόπον τῆς θλίψεως, καὶ ἐννοῇ τί, ψάλλων σὺν τῷ Προφήτῃ, λέγει· δοκίμασόν με, Κύριε, καὶ πείρασόν με[1]*· καὶ οὐκ εἴρηκεν, ὅτι ἡ παιδεία σου κατέστρεψεν, ἀλλ' ἀνώρθωσέ με εἰς τέλος*[2].

β'. Ἀρχὴ μὲν τῶν καλῶν, φό-

1. Εἶναι στὴν δύναμι κάθε Χριστιανοῦ, ὁ ὁποῖος πιστεύει ὀρθὰ στὸν Θεό, νὰ μὴν μένῃ ἀμέριμνος, ἀλλὰ πάντοτε νὰ προσδοκᾷ καὶ νὰ ἀναμένῃ πειρασμό· ὥστε, ὅταν ἔλθῃ, νὰ μὴν ἐκπλήσσεται οὔτε νὰ ταράσσεται, ἀλλὰ εὐχαρίστως νὰ ὑπομένῃ τὸ πλῆγμα τῆς θλίψεως καὶ νὰ κατανοῇ, τί λέγει, ὅταν ψάλλῃ μαζὶ μὲ τὸν Προφήτη: θέσε με σὲ δοκιμασία Κύριε καὶ δῶσε μου πειρασμό· καὶ ἐπιπλέον, [νὰ κατανοῇ, ὅτι] δὲν λέγει: ἡ παιδαγωγία Σου [μὲ] κατέβαλε, ἀλλὰ [ἀντίθετα λέγει:] μὲ ἀνόρθωσε ἐντελῶς.

2. Ἡ μὲν ἀρχὴ τῶν καλῶν [εἶναι] ὁ

βος Θεοῦ. Τέλος δέ, ὁ πόθος αὐτοῦ.

γ΄. Ἀρχὴ παντὸς ἀγαθοῦ, λόγος ἔμπρακτος, καὶ πρᾶξις ἐλλόγιμος. Διὸ οὔτε πρᾶξις, λόγου χωρίς, ἀγαθή· οὔτε λόγος, πράξεως ἄνευ, ὁ προερχόμενος.

δ΄. Πρᾶξίς ἐστι, σώματος μὲν νηστεία, καὶ ἀγρυπνία· στόματος δὲ ψαλμῳδία, καὶ προσευχή, καὶ σιωπὴ λόγου τιμιωτέρα· καὶ χειρῶν πρᾶξις, τὸ ὑπ᾽ ἐκείνων ἀγογγύστως γινόμενον· ποδῶν δέ, τὸ δι᾽ αὐτῶν ἐκ πρώτης προτροπῆς ἀνυόμενον.

ε΄. Προηγεῖται πασῶν τούτων ἔλεος καὶ ἀλήθεια· ὧν κύημα ἡ ταπείνωσις, καὶ ἡ ἐκ ταύτης κατὰ τοὺς πατέρας προσγινομένη διάκρισις· ἧς ἄνευ, οὐδ᾽ ἑτέρα τὸ ἑαυτῆς ἰδεῖν πέρας δυνήσεται. Ἡ μὲν γὰρ πρᾶξις, τὸν τοῦ λόγου ζυγὸν ἀτιμάζουσα, ὧδε κἀκεῖσε περὶ τὰ ἀνωφελῆ οἷα τις δάμαλις περιπλανωμένη εὑρίσκεται· ὁ δὲ λόγος τῆς πρακτικῆς τοὺς ἐντίμους χιτῶνας ἀποποιούμενος, οὐκ εὐσχήμων κἂν τοιοῦτος εἶναί πως τὸ δοκεῖν σχηματίζεται.

φόβος τοῦ Θεοῦ. Τὸ δὲ τέλος [εἶναι] ὁ πόθος Αὐτοῦ.

3. Ἡ ἀρχὴ κάθε ἀγαθοῦ [εἶναι] ὁ ἔμπρακτος λόγος καὶ ἡ ἔλλογος πρᾶξι. Γι᾽ αὐτὸ οὔτε ἡ πρᾶξι [εἶναι] ἀγαθή, χωρὶς τὸν [ἀγαθὸ] λόγο· οὔτε ὁ λόγος [εἶναι] ἐκεῖνος, ποὺ ἀποβαίνει [σὲ κάτι], χωρὶς τὴν πρᾶξι.

4. Ἡ μὲν πρᾶξι τοῦ σώματος [εἶναι] ἡ νηστεία καὶ ἡ ἀγρυπνία· [πρᾶξι] δὲ τοῦ στόματος [εἶναι] ἡ ψαλμωδία καὶ ἡ προσευχὴ καὶ ἡ τιμιώτερη τοῦ λόγου σιωπή· καὶ [πρᾶξι] τῶν χεριῶν [εἶναι] ἐκεῖνο, τὸ ὁποῖο γίνεται ἀπ᾽ αὐτὰ χωρὶς γογγυσμό· ἐνῶ τῶν ποδιῶν [εἶναι] ἐκεῖνο, τὸ ὁποῖο διατρέχεται μ᾽ αὐτά, μὲ τὴν πρώτη προτροπή.

5. Προηγεῖται ἀπὸ ὅλες αὐτὲς [τὶς ἀγαθὲς πράξεις] τὸ ἔλεος καὶ ἡ ἀλήθεια· ἀπὸ τὰ ὁποῖα τὸ κυοφορούμενο, [ἐκεῖνο, δηλαδή, τὸ ὁποῖο ἑτοιμάζεται νὰ γεννηθῇ εἶναι] ἡ ταπείνωσι καὶ ἡ διάκρισι, ἡ ὁποία [διάκρισι], σύμφωνα μὲ τοὺς Πατέρες, ἐπέρχεται, ἕνεκα αὐτῆς, [δηλαδή, τῆς ταπεινώσεως καὶ] χωρὶς τὴν ὁποία [διάκρισι] οὔτε ἡ ἄλλη, [δηλαδή, ἡ ταπείνωσι] θὰ μπορέσῃ νὰ δῇ τὴν ὁλοκλήρωσί της. Διότι ἡ μὲν πρᾶξι, ὅταν καταφρονῇ τὸν ζυγὸ τοῦ λόγου, εἶναι, ὅπως ἡ περιπλανώμενη, ἐδῶ καὶ ἐκεῖ, γύρω ἀπὸ ἀνώφελα [πράγματα], μοσχίδα· ὁ δὲ λόγος, ὅταν ἀπορρίπτῃ τοὺς ἐντίμους χιτῶνες τῆς πρακτικῆς [ἀρετῆς] δὲν [εἶναι] εὐπρεπής, ἀκόμη κι ἂν προσποιῆται κατὰ κάποιο τρόπο τὴν φαινομενικὴ εἰκόνα, ὅτι εἶναι τέτοιος.

ς΄. Ἡ ἀνδρεία ψυχή, ὡς γυνὴ παρ᾽ ὅλον αὐτῆς τὸν βίον, ὡς δύο λύχνους τὸ πρακτικόν τε καὶ θεωρητικὸν καιομένη κατέχουσα, πράττει τὰ ὀφειλόμενα· τὰ ἐναντία δὲ πάλιν, ἡ παρειμένη ταῖς ἡδοναῖς.

ζ΄. Οὐκ ἀρκεῖ τῇ ψυχῇ, πρὸς τελείαν κακίας ἀπαλλαγήν, ἡ ἑκούσιος κακοπάθεια εἰμὴ καὶ διὰ τῆς ἀκουσίου ἐκπυρουμένη μὴ [delendum] διαλύηται· οἷα γάρ τις μάχαιρα ἡ ψυχή, εἰμὴ διὰ πυρὸς διέλθῃ καὶ ὕδατος[3]*, τουτέστιν ἑκουσίων πόνων καὶ ἀκουσίων, ἄθραυστος ταῖς ἀντιτυπίαις τῶν ἐπισυμβαινόντων οὐ συντηρεῖται.*

η΄. Ὥς περ τῶν ἑκουσίων πειρασμῶν τρία εἰσὶ τὰ καθολικώτερα αἴτια, ὑγεία, πλοῦτος, καὶ εὔκλεια, οὕτω καὶ τῶν ἀκουσίων τρία εἰσί, ζημίαι, λοιδορίαι, ἀσθένειαι. Γίνονται δὲ ταῦτα τισὶ μὲν εἰς οἰκοδομήν, τισὶ δὲ εἰς καθαίρεσιν.

θ΄. Παρυφέστηκε ψυχῇ μέν, ἐπιθυμία, καὶ λύπη· σώματι δέ, ἡδονή, καὶ ὀδύνη. Αἴτιον δὲ τῆς μὲν ὀδύνης ἡ ἡδονή· θέλοντες γὰρ ἐκφυγεῖν τὴν

6. Ἡ ἀνδρεία ψυχή, ὅπως κάποια γυναῖκα, πράττει σὲ ὅλη της τὴν ζωὴ τὰ ὀφειλόμενα, διατηρώντας σὰν δύο λυχνάρια, ποὺ [τὰ] κρατᾶ ἀναμμένα, τὸ πρακτικὸ καὶ τὸ θεωρητικὸ [τῆς ψυχῆς της]· ἐνῶ ἀπεναντίας ἡ [ψυχή], ἡ ὁποία ἔχει ἀφεθῆ στὶς ἡδονὲς [πράττει] τὰ ἀντίθετα.

7. Γιὰ τὴν ὁλοτελῆ ἀπαλλαγὴ ἀπὸ τὴν κακία, δὲν ἀρκεῖ στὴν ψυχὴ ἡ ἑκούσια κακοπάθεια, ἐὰν [ἡ ψυχὴ] δὲν ἀποβάλλῃ [τὴν κακία], καθὼς καταφλέγεται καὶ διὰ τῆς ἀκουσίου [κακοπαθείας]· διότι ἡ ψυχή, ὅπως ἡ μάχαιρα, ἐὰν δὲν περάσῃ διὰ μέσου τοῦ πυρὸς καὶ τοῦ ὕδατος, δηλαδή, τῶν ἑκουσίων πειρασμῶν καὶ τῶν ἀκουσίων, δὲν διαφυλάττεται ἀσύντριπτη ἀπὸ τὰ σκληρὰ χτυπήματα, ἐκείνων [τῶν δοκιμασιῶν], ποὺ συμβαίνουν ἔπειτα, ἐπὶ πλέον.

8. Ὅπως ἀκριβῶς τὰ γενικώτερα αἴτια τῶν ἑκουσίων πειρασμῶν εἶναι τρία: ἡ ὑγεία, ὁ πλοῦτος καὶ ἡ δόξα, κατὰ τὸν ἴδιο τρόπο τρία εἶναι καὶ [τὰ αἴτια] τῶν ἀκουσίων [πειρασμῶν]: οἱ ζημίες, οἱ ὀνειδισμοί, οἱ ἀσθένειες. Αὐτὰ δὲ σὲ κάποιους ἀπολήγουν σὲ [πνευματικὴ] οἰκοδομή, ἐνῶ σὲ ἄλλους σὲ [πνευματικὴ] κατακρήμνισι.

9. Σὲ σχέσι μὲν μὲ τὴν ψυχὴ ὑπεισέρχεται ἡ ἐπιθυμία καὶ ἡ λύπη· [σὲ σχέσι] δὲ μὲ τὸ σῶμα ἡ ἡδονὴ καὶ ἡ ὀδύνη. Καὶ τῆς μὲν ὀδύνης [εἶναι] αἴτιο ἡ ἡδονή· διότι θέλοντας νὰ ἀποφύγωμε τὴν

κατὰ τὴν ὀδύνην ἐπίπονον αἴσθησιν, πρὸς τὴν ἡδονὴν καταφεύγομεν· τῆς δὲ λύπης, ἐπιθυμία.

ι΄. Ἐνδιάθετον μὲν ὁ ἐνάρετος κέκτηται τὸ καλόν, περινενοημένον δὲ ὁ κενόδοξος. Τὸ δὲ κακόν, ὁ μὲν σπουδαῖος, ἐξ ἐπιπολῆς ἔχει, κατὰ βάθος δὲ ὁ φιλήδονος.

ια΄. Πρᾶξις ψυχῆς ἐστιν, ἐγκράτεια τῇ ἁπλότητι, καὶ ἁπλότης τῇ ἐγκρατείᾳ ἐνεργουμένη.

ιβ΄. Νοῦ πρᾶξίς ἐστιν, ἡ ἐν θεωρίᾳ εὐχή, καὶ ἡ ἐν εὐχῇ θεωρία.

ιγ΄. Ὀλιγάκις μέν, καὶ οὐκ ἐπιμελῶς πρὸς τὸ κακὸν εὑρίσκεται ὁ τοῦτο μισῶν. Πλεονάκις δὲ καὶ προσεκτικώτερον, ὁ ἐπὶ ταῖς αἰτίαις ἐκείνου προσκείμενος.

ιδ΄. Οἷς μὴ κατὰ πρόθεσιν τὸ μετανοεῖν, τούτοις συνεχῶς καὶ τὸ πλημμελεῖν. Οἷς δὲ παρὰ πρόθεσιν τὸ ἁμαρτάνειν, ἐμπληροφόρητος ἡ μετάνοια, καὶ τὸ αἴτιον ταύτης οὐχὶ συχνόν.

ιε΄. Αἴσθησις, καὶ συνείδησις, λόγῳ τῷ κατὰ προφορὰν συνερχέσθωσαν· ὅπως ὁ εἰρηνικὸς καὶ θεῖος λόγος ἐν μέ-

ἐπίπονη αἴσθησι κατὰ τὴν διάρκεια τῆς ὀδύνης, καταφεύγομε στὴν ἡδονή· ἐνῶ [αἴτιο] τῆς λύπης [εἶναι] ἡ ἐπιθυμία.

10. Ὁ μὲν ἐνάρετος [ἄνθρωπος] ἀποκτᾶ τὸ καλὸ ἐνδιάθετο [μέσα στὴν καρδία του], ὁ δὲ κενόδοξος, καθὼς [τὸ] ἐπινοεῖ [μέσα στὸν νοῦ του]. Τὸ δὲ κακὸ ὁ μὲν ἐπιμελὴς [τὸ] ἔχει ἐπιφανειακά, ὁ δὲ φιλήδονος [τὸ ἔχει] ἐσώτατα [μέσα του].

11. Ἡ πρᾶξι τῆς ψυχῆς εἶναι ἐγκράτεια, [ἡ ὁποία ἐνεργεῖται - γίνεται ἔμπρακτη] μὲ τὴν ἁπλότητα καὶ ἁπλότητα, ἡ ὁποία ἐνεργεῖται [γίνεται ἔμπρακτη] μὲ τὴν ἐγκράτεια.

12. Ἡ πρᾶξι τοῦ νοὸς [εἶναι] ἡ ἐν θεωρίᾳ προσευχὴ[1] καὶ ἡ ἐν προσευχῇ θεωρία.

13. Σπάνια βέβαια καὶ ὄχι πρόθυμα βρίσκεται σὲ σχέσι μὲ τὸ κακὸ ἐκεῖνος, ὁ ὁποῖος μισεῖ αὐτό. Συχνά, ὅμως, καὶ μὲ περισσότερη προσοχὴ [βρίσκεται σὲ σχέσι] αὐτός, ὁ ὁποῖος εἶναι προσκολλημένος στὶς αἰτίες ἐκείνου [τοῦ κακοῦ].

14. Σ᾽ ἐκείνους, στοὺς ὁποίους ἡ μετάνοια δὲν [εἶναι] σύμφωνη μὲ τὴν πρόθεσί [τους], σ᾽ αὐτοὺς καὶ τὸ σφάλμα [συμβαίνει] συνεχῶς. Σ᾽ ἐκείνους δέ, στοὺς ὁποίους ἡ ἁμαρτία [εἶναι] ἀντίθετη μὲ τὴν πρόθεσί [τους], ἡ μετάνοια [εἶναι] ὁλοκληρωτικὴ καὶ τὸ αἴτιο αὐτῆς, [δηλαδή, ἡ ἁμαρτία] δὲν [εἶναι] συχνό.

15. Ἡ αἴσθησι καὶ ἡ συνείδησι ἂς συνενώνωνται μὲ τὸν προφορικὸ λόγο· ὥστε, ὁ εἰρηνικὸς καὶ θεῖος λόγος, νὰ μὴν καταισχύνεται νὰ βρίσκε-

σῳ τούτων εὑρίσκεσθαι μὴ καταισχύνηται διὰ τῆς προπετείας, ἢ τῆς ἀμετρίας τῶν λεγομένων.

ιϛ'. Οὐχ ὁ τοῖς ἔργοις μὴ ἀδικῶν τὴν ψυχὴν αὐτοῦ, οὗτος καὶ τοῖς λόγοις ἀμίαντον αὐτὴν συνετήρησεν· οὐδὲ ὁ τούτοις φυλάττων ἤδη καὶ μολυσμοῖς οὐκ ἐμόλυνε· τριττὸν γὰρ τὸ ἁμαρτάνειν καθέστηκεν.

ιζ'. Οὐ δυνήσῃ τὸ πρόσωπον τῆς ἀρετῆς κατιδεῖν, ἡδέως ἔτι τὸ τῆς κακίας κατανοῶν. Μισητὸν δέ σοι τότε φανεῖται τὸ δεύτερον, ὅτε τρυφῆς ἐπιθυμητῆς τὴν γεῦσιν, καὶ τοιαύτης τὴν ὄψιν ἀποξενώσῃς μορφῆς.

ιη'. Διὰ τῶν λογισμῶν, οὐ διὰ τῶν πραγμάτων προηγουμένως πολεμοῦσιν οἱ δαίμονες τὴν ψυχήν. Αὐτὰ γὰρ καθ' ἑαυτὰ πολεμοῦσι τὰ πράγματα. Καὶ τῶν μὲν πραγμάτων ἡ ἀκοὴ αἴτιος, καὶ ἡ ὅρασις· τῶν δὲ λογισμῶν ἡ συνήθεια, καὶ οἱ δαίμονες.

ιθ'. Τριττὸν μὲν τὸ ἁμαρτητικὸν μέρος τῆς ψυχῆς εὑρίσκομεν· ἐν ἔργοις, ἐν λόγοις καὶ ἐννοίαις. Ἐξαδικὸν δὲ τὸ τῆς ἀναμαρτησίας καλόν·

ται ἀνάμεσα σ' αὐτές, λόγῳ τῆς αὐθαδείας ἢ τῆς ἀμετρίας ἐκείνων, τὰ ὁποῖα λέγονται.

16. Ἐκεῖνος, ὁ ὁποῖος δὲν ζημιώνει τὴν ψυχή του μὲ ἔργα, αὐτὸς δὲν διατήρησε [ἀπαραίτητα] καὶ μὲ τοὺς λόγους [του] αὐτὴ καθαρή· οὔτε ἐκεῖνος, ὁ ὁποῖος ἕως τώρα διαφυλάσσει ἀπ' αὐτούς, [τοὺς λόγους τὴν ψυχή του καθαρή, ὁπωσδήποτε], δὲν [τὴν] ἐμόλυνε καὶ μὲ ἀκαθάρτους λογισμούς· διότι ἡ ἁμαρτία παρουσιάζεται μὲ τρεῖς τρόπους.

17. Δὲν θὰ μπορέσῃς νὰ δῇς καθαρὰ τὸ πρόσωπο τῆς ἀρετῆς, ἐὰν σκέπτεσαι ἀκόμη μὲ εὐχαρίστησι τὸ [πρόσωπο] τῆς κακίας. Τότε λοιπὸν θὰ σοῦ φανῇ μισητὸ τὸ δεύτερο, [δηλαδή, τὸ πρόσωπο τῆς κακίας], ὅταν ἀποξενώσῃς τὴν γεῦσι ἀπὸ ἐπιθυμητὲς ἀπολαύσεις καὶ τὴν ὅρασι ἀπὸ τέτοιου εἴδους [ἡδυπαθῶς ἐπιθυμητὲς] εἰκόνες.

18. Οἱ δαίμονες πολεμοῦν προηγουμένως τὴν ψυχὴ μέσῳ τῶν λογισμῶν, [καὶ] ὄχι μέσῳ τῶν πραγμάτων. Διότι αὐτὰ τὰ ἴδια τὰ πράγματα ἀπὸ μόνα τους πολεμοῦν [τὴν ψυχή]. Καὶ ὅσον ἀφορᾷ μὲν τὰ πράγματα ὑπεύθυνη [γιὰ τὸν πόλεμο ἐναντίον τῆς ψυχῆς εἶναι] ἡ ἀκοὴ καὶ ἡ ὅρασι· ὅσον δὲ ἀφορᾷ τοὺς λογισμοὺς [ὑπεύθυνη εἶναι] ἡ συνήθεια καὶ οἱ δαίμονες.

19. Τὸ μέρος τῆς ψυχῆς, τὸ δυνάμενο νὰ ἐνεργῇ τὴν ἁμαρτία, εὑρίσκομε, [ὅτι εἶναι] τριπλὸ [ἐκφράζεται τριπλᾶ]· σὲ ἔργα, σὲ λόγους καὶ σὲ λογισμούς. Τὸ δὲ καλὸ τῆς ἀναμαρτησίας ἑξαπλό·

ἀπταίστους γὰρ τὰς πέντε αἰσθήσεις, καὶ τὸν προφορικὸν δὴ [recte: δεῖ] συντηρεῖν λόγον· ἐν οἷς ὁ μὴ πταίων, ἀνὴρ τέλειος, δυνατὸς χαλιναγωγῆσαι[4] καὶ τὰ λοιπὰ μέρη τῆς ψυχῆς.

κ΄. Ἑξαχῶς τὸ ἄλογον μέρος διαιρεῖται τῆς ψυχῆς, εἴς τε τὰς πέντε αἰσθήσεις, καὶ εἰς τὸν κατὰ προφορὰν λόγον· ὃς συνδιατηρεῖται μὲν ἀδιαιρέτως τῷ πάσχοντι, ἀπαθὴς ὤν. Ἀναμάττεται δὲ τὴν αὐτοῦ κακίαν, παθητικὸς εὑρισκόμενος.

κα΄. Οὔτε σῶμα δύναται νηστείας, καὶ ἀγρυπνίας καθαρισθῆναι χωρίς, οὔτε ἐλέους, καὶ ἀληθείας ψυχή. Ἀλλ᾽ οὔτε νοῦς ἄνευ ὁμιλίας, καὶ θεωρίας Θεοῦ. Αὗται γὰρ αἱ συζυγίαι ἐν τούτοις ἐπισημόταται.

κβ΄. Κυκλοφορουμένη ταῖς εἰρημέναις ἀρεταῖς ἡ ψυχή, ἀπερικτύπητον τὸ ταύτης ἐκ πειρασμῶν καθίστησι φρούριον, ὅ ἐστιν ἡ ὑπομονή. Ἐν τῇ ὑπομονῇ ὑμῶν γὰρ κτήσασθε τὰς ψυχὰς ὑμῶν[5], ὁ λόγος φησίν. Εἰ δὲ ἑτέρως ἐχόμενα [recte: ἐχομένη] εἴη, οἵα τις πόλις ἀτείχιστος καὶ

διότι [ἡ ψυχὴ] εἶναι ἀνάγκη νὰ διατηρῇ ἀναμάρτητες τὶς πέντε αἰσθήσεις καὶ τὸν προφορικὸ λόγο· στὰ ὁποῖα ἐκεῖνος, ὁ ὁποῖος δὲν ἁμαρτάνει, [εἶναι] τέλειος ἄνθρωπος, ἱκανὸς νὰ χαλιναγωγήσῃ καὶ τὰ ὑπόλοιπα μέρη τῆς ψυχῆς.

20. Τὸ ἄλογο μέρος τῆς ψυχῆς διαιρεῖται στὰ ἕξι, [δηλαδή], στὶς πέντε αἰσθήσεις καὶ ἐπιπλέον στὸν προφορικὸ λόγο. Αὐτὸς [ὁ προφορικὸς λόγος], ἐὰν μὲν εἶναι ἀπαθής, διατηρεῖται ἀχώριστα [ἑνωμένος] μ᾽ ἐκεῖνον, ὁ ὁποῖος ὑφίσταται τὸ πάθος. Ὅταν ὅμως [ὁ προφορικὸς λόγος] εἶναι ἐμπαθής, ἐκφράζει [ἐξωτερικεύει] τὴν κακία αὐτοῦ, [ὁ ὁποῖος ὑφίσταται τὸ πάθος].

21. Οὔτε τὸ σῶμα δύναται νὰ καθαρθῇ χωρὶς νηστεῖες καὶ ἀγρυπνίες, οὔτε ἡ ψυχὴ χωρὶς ἔλεος [εὐσπλαγχνία] καὶ ἀλήθεια. Ἀλλὰ οὔτε ὁ νοῦς [δύναται νὰ καθαρθῇ] χωρὶς προσευχὴ καὶ θεωρία Θεοῦ. Αὐτὲς βέβαια οἱ ἀνὰ ζεῦγος ἑνώσεις [τῶν ἀρετῶν] μ᾽ αὐτά, [δηλαδή, ἀντίστοιχα μὲ τὸ σῶμα, τὴν ψυχὴ καὶ τὸν νοῦ εἶναι] ἐξαιρετικὰ σημαντικὲς [γιὰ τὴν κάθαρσι καὶ τὴν σωτηρία τοῦ ἀνθρώπου].

22. Ὅταν ἡ ψυχὴ περιστρέφεται γύρω ἀπὸ τὶς ἀρετές, ποὺ προαναφέρονται, καθιστᾶ τὸ φρούριό της, τὸ ὁποῖο εἶναι ἡ ὑπομονή, ἀνενόχλητο ἀπὸ πειρασμούς. Διότι ὁ Λόγος λέγει: μὲ τὴν ὑπομονή σας, κερδίστε τὶς ψυχές σας. Ἐὰν ὅμως ἤθελε εἶναι [ἡ ψυχὴ] ἐξαρτωμένη, μὲ διαφορετικὸ τρόπο, [ἀπὸ τὶς ἀρετές, ποὺ προαναφέρονται, τότε] συνηθίζει νὰ καταρρίπτεται μὲ μοχλοὺς δειλίας, ὅπως ἡ ἀτείχιστη πόλι

ὑπὸ τῶν πόῤῥωθεν ψόφων, δειλίας μοχλοῖς κατασείεσθαι εἴωθεν.

κγ'. Οὐχ ὅσοι εἰς τὰ κατὰ λόγον εἰσὶ φρόνιμοι, οὗτοι καὶ εἰς τὰ κατ᾽ ἔννοιαν. Οὐδὲ ὅσοι εἰς τὰ κατ᾽ ἔννοιαν, οὗτοι καὶ εἰς τὰ κατ᾽ αἴσθησιν τὴν ἔξωθεν εὑρεθήσονται. Εἰ γὰρ καὶ πάντας ὑποφόρους ἔχει ἡ αἴσθησις, ἀλλ᾽ οὐχ ὁμοίως αὐτῇ τοὺς φόρους ἀποδιδόασι. Ἐξ ἀφελότητος γὰρ οἱ πλείους εἰς τὰ κατ᾽ αὐτὴν τιμᾶν αὐτήν, ὡς αὐτὴ ἀπαιτεῖ, οὐκ ἐπίστανται.

κδ'. Τῇ φύσει ἄτμητος οὖσα ἡ φρόνησις, τέμνεται εἰς διαφόρους τομάς. Ὧ μὲν γὰρ δίδοται πλέον, ᾧ δὲ ἔλαττον αὐτῆς· ἕως αὐξηθεῖσα ἡ πρακτικὴ ἀρετή, συνδρόμους τε αὐτῇ τὰς γενικὰς ἔχουσα ἀρετάς, τὸ ἐνδεχόμενον ἑκάστῃ ἀποπληρώσῃ καλόν. Οἱ πλείους γὰρ κατὰ τὴν ἔλλειψιν τῆς ἐμπράκτου ζωῆς, καὶ τὸ φρονεῖν ἐκληρώσαντο.

κε'. Εἰς μὲν τὰ κατὰ φύσιν, ὀλίγοι φρόνιμοι εὑρεθήσονται. Εἰς δὲ τὰ παρὰ τὴν φύσιν, πολλοί. Δέει γὰρ τῷ περὶ αὐτά, ὅλην αὐτῶν τὴν φυ-

ἀπὸ τοὺς θορύβους, [ποὺ ἀκούγονται] ἀπὸ μακριά.

23. Ὅσοι εἶναι φρόνιμοι στὰ λόγια, δὲν [εἶναι ὁπωσδήποτε] τέτοιοι καὶ στοὺς λογισμούς. Οὔτε ὅσοι [εἶναι φρόνιμοι] στοὺς λογισμοὺς θὰ βρεθοῦν τέτοιοι καὶ σὲ ὅσα ἀφοροῦν τὴν αἴσθησι, [ποὺ τοὺς προκαλεῖ] ἀπ᾽ ἔξω. Διότι ἂν καὶ ἡ αἴσθησι κρατᾶ ὅλους φόρου ὑποτελεῖς, ἀλλὰ [ὅλοι] δὲν ἀποδίδουν σ᾽ αὐτὴν τοὺς φόρους κατὰ τὸν ἴδιο τρόπο. Διότι οἱ περισσότεροι, ἀπὸ ἀφέλεια, ὅσον ἀφορᾶ τὰ σχετικὰ μ᾽ αὐτὴ [τὴν αἴσθησι], δὲν γνωρίζουν, νὰ ἀποδίδουν τὴν ἀξία σ᾽ αὐτήν, ὅπως αὐτὴ ἀπαιτεῖ.

24. Ἡ φρόνησι ἂν καὶ εἶναι ἄτμητη ὡς πρὸς τὴν φύσι [της] διαιρεῖται σὲ διαφορετικὰ τμήματα. Διότι ἀπ᾽ αὐτὴν παρέχεται σὲ ἄλλον μὲν περισσότερο, σὲ ἄλλον δὲ λιγώτερο, ἕως ὅτου, ἀφοῦ αὐξηθῇ ἡ πρακτικὴ ἀρετή, ἔχοντας συμπορευτὲς μαζί της καὶ τὶς γενικὲς ἀρετές, ἐκπληρώσῃ [φέρει εἰς πέρας] σὲ καθεμιὰ [ἀπ᾽ αὐτὲς τὶς ἀρετὲς] τὸ δυνάμενο νὰ συμβῇ καλό. Διότι οἱ περισσότεροι ἀνάλογα μὲ τὴν ἔλλειψι τῆς ἐμπράκτου ζωῆς, [δηλαδὴ τῆς πρακτικῆς ἀρετῆς], ἀπέκτησαν καὶ τὸ μερίδιο τῆς φρονήσεως.

25. Ὅσον μὲν ἀφορᾶ τὰ φυσικά, φρόνιμοι θὰ βρεθοῦν λίγοι. Ὅσον δὲ ἀφορᾶ τὰ παρὰ φύσιν [φρόνιμοι θὰ βρεθοῦν] πολλοί. Διότι, ἀφοῦ ἄδειασαν ὁλόκληρη τὴν φυσική τους φρόνησι στὸ

σικὴν φρόνησιν ἐκκενώσαντες, ἔχουσιν ἐκεῖ μὲν τὸ φρονεῖν ὀλίγον. Τὸ πλεῖστον δὲ ἐν τοῖς περιττοῖς, καὶ οὐ τῇ φύσει ἐπαινετοῖς.

κϛ΄. Τῆς εὐλόγου σιωπῆς, ὁ καιρὸς καὶ τὸ μέτρον συνεστιάτορες. Πανδαισία δὲ τούτου γίνεται ἡ ἀλήθεια, καθ' ἣν ὁ τοῦ ψεύδους πατὴρ ἐπὶ ψυχὴν ἀποδημοῦσαν ἐρχόμενος, εὑρίσκει τῶν ἐπιζητουμένων οὐδέν.

κζ΄. Ἐλεήμων ἀληθής, οὐχ ὁ παρέχων ἑκουσίως τὰ περιττά, ἀλλ' ὁ συγχωρῶν τὰ ἀναγκαῖα τοῖς ἁρπάζουσι.

κη΄. Οἱ μέν, τῷ ἐνύλῳ πλούτῳ κτῶνται τὸν ἄϋλον ἐλεημοσύνης θεσμοῖς. Οἱ δέ, τῷ ἀΰλῳ ἀποκτῶνται τὸν ἔνυλον ἐν αἰσθήσει τοῦ ἀνεκλείπτου γινόμενοι.

κθ΄. Φίλον μὲν παντί, τὸ πλουτεῖν ἐν καλοῖς· λυπηρὸν μὲν τῷ θείως πλουτίσαντι μέν, μὴ ἐπιπλεῖστον συγχωρηθῆναι δὲ ἐνευφρανθῆναι αὐτῷ.

λ΄. Ἔξωθεν μὲν ἡ ὑγεία δοκεῖ τῇ ψυχῇ, ἔνδοθεν δὲ ἐν τῷ τῆς αἰσθήσεως πυθμένι πέφυκε κρύπτεσθαι ἡ ἀῤῥωστία αὐτῆς. Εἰ δὲ δεῖ πάντως ἔξωθεν μὲν τὴν ἀῤῥωστίαν

δέος γύρω ἀπ᾽ αὐτὰ [τὰ παρὰ φύσιν], κρατοῦν ἐκεῖ [στὰ φυσικὰ] τὴν φρόνησι λίγη. Τὸ δὲ περισσότερο [τῆς φρονήσεως τὸ κρατοῦν] στὰ ἀνωφελῆ καὶ [σὲ ὅσα] δὲν [εἶναι] ἐπαινετὰ στὴν φύσι.

26. Ὁμοτράπεζοι στὴν εὔλογο σιωπὴ [εἶναι] ὁ [κατάλληλος] καιρὸς καὶ τὸ μέτρο. Ἡ πανδαισία [τὸ τέλειο συμπόσιο] αὐτοῦ [τοῦ γεγονότος τῆς εὐλόγου σιωπῆς] εἶναι ἡ ἀλήθεια, ἕνεκα τῆς ὁποίας ὁ πατέρας τοῦ ψεύδους [ὁ διάβολος], ὅταν θὰ ἔρθῃ ἐναντίον ψυχῆς, ἡ ὁποία ἀποδημεῖ [ἀπὸ τὴν παροῦσα ζωή], δὲν θὰ βρῇ τίποτα ἀπὸ ἐκεῖνα, τὰ ὁποῖα ἐπιθυμεῖ νὰ βρῇ.

27. Ἀληθινὸς ἐλεήμων δὲν [εἶναι] ἐκεῖνος, ὁ ὁποῖος παρέχει μὲ τὴν θέλησί του τὰ περίσσια, ἀλλὰ ἐκεῖνος, ὁ ὁποῖος παραχωρεῖ τὰ ἀναγκαῖα σ᾽ ἐκείνους, οἱ ὁποῖοι [τοῦ τὰ] ἁρπάζουν.

28. Οἱ μὲν διὰ [τῆς τηρήσεως] τῶν ἐντολῶν τῆς ἐλεημοσύνης ἀποκτοῦν μὲ τὸν ὑλικὸ πλοῦτο τὸν Ἄϋλο [πλοῦτο]. Οἱ δὲ ἀντιλαμβανόμενοι βιωματικὰ τὸν ἀτελεύτητο [πλοῦτο] ἀπορρίπτουν τὸν ὑλικὸ ἕνεκα τοῦ Ἀΰλου.

29. Σὲ ὅλους βεβαίως ἀρέσει τὸ νὰ πλουτίζουν σὲ καλά. [Εἶναι ὅμως] ἀληθινὰ λυπηρὸ γιὰ ἐκεῖνον, ὁ ὁποῖος ἐπλούτισε μὲν κατὰ Θεόν[2], νὰ μὴν τοῦ παραχωρηθῇ ὅμως νὰ εὐφρανθῇ στὸν μέγιστο βαθμό, ἀπ᾽ αὐτὸν [τὸν θεῖο πλοῦτο].

30. Ἐξωτερικὰ μὲν φαίνεται στὴν ψυχὴ ἡ ὑγεία, ἐσωτερικὰ δὲ ἡ ἀσθένειά της ἔχει ἐκ φύσεως τὸ ἰδίωμα νὰ κρύπτεται στὸν πυθμένα τῆς αἰσθήσεως. Ἐὰν ὅμως ὁπωσδήποτε εἶναι ἀνάγκη, μὲ τὰ ἀλλεπάλληλα τρυπήματα

ἐκείνην τῷ ἀναθερισμῷ τῶν ἐλέγχων γενέσθαι, ἔνδοθεν δὲ τὴν ὑγείαν δηλονότι ταύτην τῷ ἀνακαινισμῷ τοῦ νοός, ἄφρων ὁ τοὺς ἐλέγχους ἀποσειόμενος, καὶ ἐν τῷ τῆς ἀναλγησίας πάντοτε ἀνακεῖσθαι νοσοκομείῳ μὴ αἰσχυνόμενος.

λα΄. Μὴ τραχυνθῇς κατὰ τοῦ ἀκουσίως σε χειρουργήσαντος, ἀλλὰ πρὸς τὴν ἐκκενωθεῖσαν ἀηδίαν ἀποβλεψάμενος, ταλάνισον μὲν σεαυτόν, μακάρισον δὲ τὸν αἴτιόν σοι ταύτης γενόμενον τῆς ὠφελείας, οἰκονομίᾳ Θεοῦ.

λβ΄. Μὴ πρός τι δεινὸν ἀπευδοκήσῃς τῆς ἀῤῥωστίας σου, ἀλλὰ διὰ τῶν τῆς φιλοπονίας δραστικωτέρων φαρμάκων, πόῤῥω γενοῦ ταύτης, ὁ τῆς κατὰ ψυχὴν ὑγείας ἐπιμελούμενος.

λγ΄. Μὴ συσταλῇς ἀπὸ τοῦ καιρίως σε πλήττοντος. Πρόσιθι δὲ τούτῳ καὶ ὑποδείξει σοι, ὅσον τὸ ὑποσμῆχον τὴν αἴσθησίν σου καλόν. Καὶ φάγῃ ὄψον ἡδὺ τὸ ἐκ τῆς ὑγείας, μετὰ τὸ ἀναλωθῆναι τὸ ἐκ πικρίας ἀπόβλητον.

λδ΄. Ὅσον αἰσθάνῃ τῶν πόνων, τοσοῦτον ἀποδέχου τὸν

τῶν ἐλέγχων, νὰ ἐμφανισθῇ μὲν ἐξωτερικὰ ἡ ἀσθένεια ἐκείνη, ἐσωτερικὰ δὲ [νὰ ἐμφανισθῇ] φανερά, διὰ τοῦ ἀνακαινισμοῦ τοῦ νοός, αὐτὴ ἡ ὑγεία, [τότε εἶναι] ἀνόητος ἐκεῖνος, ὁ ὁποῖος ἀποστρέφεται τοὺς ἐλέγχους καὶ δὲν ντρέπεται νὰ βρίσκεται συνεχῶς στὸ νοσοκομεῖο τῆς ἀναλγησίας [τῆς αναισθησίας].

31. Νὰ μὴν παροργισθῇς ἐναντίον ἐκείνου, ὁ ὁποῖος σὲ χειρούργησε ἀκουσίως, ἀλλὰ στρέφοντας τὴν προσοχή σου πρὸς τὴν ἀηδία, ἡ ὁποία ἀποβλήθηκε [μὲ τὴν χειρουργικὴ ἐπέμβασι ἐκείνου], ἀφ᾽ ἑνὸς ἐλεεινολόγησε τὸν ἑαυτόν σου, ἀφ᾽ ἑτέρου μακάρισε ἐκεῖνον, ὁ ὁποῖος, ἀπὸ οἰκονομία τοῦ Θεοῦ, ἔγινε αἴτιος αὐτῆς [σου] τῆς ὠφελείας.

32. Ἐν σχέσει πρὸς κάποια συμφορά, [ἐσύ], ὁ ὁποῖος φροντίζεις γιὰ τὴν ὑγεία στὴν ψυχὴ [σου], νὰ μὴν ἀπελπισθῇς γιὰ τὴν ἀσθένειά σου, ἀλλὰ ξεπέρασέ την, διὰ τῶν πλέον δραστικῶν φαρμάκων τῆς φιλοπονίας.

33. Νὰ μὴν κρυφθῇς ἀπὸ ἐκεῖνον, ὁ ὁποῖος σὲ πληγώνει καίρια, [διὰ τῶν ἐπιπλήξεών του]. Ἀλλὰ νὰ παραδοθῇς σ᾽ αὐτὸν καὶ θὰ σὲ διδάξῃ, πόσο μεγάλο [εἶναι] τὸ καλό, τὸ ὁποῖο κάπως καθαρίζει τὴν αἴσθησί σου. Καὶ θὰ φᾷς, ὁπωσδήποτε, τὸ γλυκὸ φαγητό, ἕνεκα τῆς ὑγείας [τῆς ψυχῆς σου], μετὰ ἀπὸ τὴν κατανάλωσι τοῦ [φαγητοῦ], τὸ ὁποῖο ἀπέρριπτες, λόγῳ τῆς πικρότητος [τῶν ἐπιπλήξεων].

34. Ὅσο αἰσθάνεσαι τοὺς πόνους, τόσο νὰ ἀποδέχεσαι ἐκεῖνον, ὁ ὁποῖος,

τούτους διὰ τῶν ἐλέγχων ὑποδεικνύοντά σοι. Καθάρσεως γὰρ τελείας, αἴτιός σοι, καθίσταται· ἧς ἄνευ, ἐν καθαρῷ χωρίῳ τῷ τῆς εὐχῆς οὐ δύναται γενέσθαι ὁ νοῦς.

λε΄. Ἐν τῷ ἐλέγχεσθαι, ἢ σιωπᾶν δεῖ, ἢ ἠπίως ἀπολογεῖσθαι τῷ καταλέγοντι· οὐ διὰ τὸ συστῆσαι τὰ οἰκεῖα τὸν ἐλεγχόμενον· διὰ δὲ τὸ ἀναστῆσαι ἴσως προσκόψαντα, τὸν ἐν ἀγνοίᾳ ἐλέγχοντα.

λς΄. Τῷ λυπήσαντι δικαίως, ὁ πρὸ τοῦ προσκληθῆναι ὑπ᾽ αὐτοῦ μετανοῶν, ἐζημίωται τῶν ἀνηκόντων οὐδέν. Ὁ δὲ μετὰ τὴν πρόσκλησιν, τῆς εὐφορίας τὸ ἥμισυ. Κερδαίνει μέντοι ὅλον τὸ προκαταβληθέν, ὁ μηδέποτε διὰ λύπην ἀποσυνάγωγος εὑρισκόμενος. Προστίθησι δὲ καὶ μισθὸν ἑαυτῷ, ὁ τῷ [recte: τὸ] σφάλμα βάλλων ἐπάνω αὐτοῦ ἐν παντί.

λζ΄. Οὔτε ὁ ὑψηλόφρων ἐπιγινώσκει οἷα τὰ ἑαυτοῦ ἐλαττώματα, οὔτε τὰ οἰκεῖα ὁ ταπεινόφρων καλά. Καλύπτει γὰρ τὸν μέν, ἄνοια φαύλη· τὸν δέ, ἡ θεάρεστος.

λη΄. Τοῖς ἰσοτίμοις ὁ ὑπερήφανος, ἐν καλοῖς παραμε-

διὰ μέσου τῶν ἐλέγχων, σοῦ παρουσιάζει αὐτούς. Διότι σοῦ γίνεται αἴτιος γιὰ τέλεια κάθαρσι, χωρὶς τὴν ὁποία ὁ νοῦς δὲν δύναται νὰ βρεθῇ στὸν καθαρὸ τόπο τῆς εὐχῆς.

35. Ὅταν [κανεὶς] ἐλέγχεται ἢ πρέπει νὰ σιωπᾷ ἢ νὰ ἀπολογῆται με ἠπιότητα σ᾽ ἐκεῖνον, ὁ ὁποῖος [τοῦ] προσάπτει κατηγορία, ὄχι γιὰ νὰ ἑδραιώσῃ ὁ ἐλεγχόμενος τὰ δικά του [συμφέροντα]· ἀλλά, ἕνεκα τῆς διορθώσεως ἴσως ἐκείνου, ὁ ὁποῖος, ἐνῶ ἔσφαλε, ἐλέγχει [εὑρισκόμενος] σὲ ἄγνοια.

36. Ἀπ᾽ ἐκεῖνον, ποὺ συνήθως ἐνοχλεῖ σύμφωνα μὲ τὸ δίκαιο [πρὸς ἀπαίτησι ἀνεκπληρώτων ἀνειλημμένων ὑποχρεώσεων], ἐκεῖνος ὁ ὁποῖος μετανοεῖ, πρὶν νὰ κληθῇ ἀπ᾽ αὐτὸν [σὲ μετάνοια], δὲν ἔχασε τίποτε ἀπ᾽ ὅσα τοῦ ἀνήκουν. [Ἐκεῖνος, ὁ ὁποῖος] μετὰ τὴν κλῆσι [σὲ μετάνοια, μετανοεῖ, χάνει] τὸ ἥμισυ τῆς [πνευματικῆς του] καρποφορίας. Ἐκεῖνος, ὁ ὁποῖος οὐδέποτε βρέθηκε ἀποσυνάγωγος [ἐκτὸς συνάξεως καὶ κοινωνίας], ἕνεκα ἐνοχλήσεως [πρὸς ἀπαίτησι ἀνεκπληρώτων ἀνειλημμένων ὑποχρεώσεων], κερδίζει βεβαίως ἐκεῖνο, τὸ ὁποῖο καταβλήθηκε [ἀπ᾽ αὐτόν] ἐξ ἀρχῆς [τὴν προκαταβολή]. Προσθέτει δὲ καὶ μισθὸ στὸν ἑαυτόν του, ἐκεῖνος ὁ ὁποῖος ἐπιρρίπτει πάντοτε σ᾽ αὐτὸν τὸν ἴδιο, τὸ σφάλμα.

37. Οὔτε ὁ ὑψηλόφρων διακρίνει ποιὰ [εἶναι] τὰ ἐλαττώματά του, οὔτε ὁ ταπεινόφρων τὰ δικά του καλά. Διότι τὸν μὲν [ὑψηλόφρονα] σκοτίζει φαύλη μωρία· τὸν δὲ [ταπεινόφρονα, μωρία] θεάρεστη.

38. Ὁ ὑπερήφανος δὲν θέλει νὰ παραμετρηθῇ στὰ καλὰ μὲ τοὺς ἰσοτίμους

τρεῖσθαι οὐ βούλεται· ἐν δὲ τοῖς ἐναντίοις, πρὸς τοὺς ὑπερέχοντας, φορητὸν τὸ ἑαυτοῦ παραβαλλόμενος ἡγεῖται ἐλάττωμα.

λθ΄. Ὁ μὲν ψόγος στεῤῥάν, ἔκλυτον δὲ ὁ ἔπαινος τὴν ψυχὴν ἀπεργάζεται καὶ νωθροτέραν πρὸς τὰ καλά.

μ΄. Ὑπόστασις μὲν πλούτου, χρυσός· ἀρετῆς δέ, ἡ ταπείνωσις. Ὡς οὖν ὁ χρυσοῦ ἀπορῶν πένης ἐστί, κἂν μὴ τοῖς ἔξωθεν φαίνηται, οὕτω ταπεινώσεως ἄνευ, ἐνάρετος οὐκ ἔσται ὁ ἀγωνιζόμενος.

μα΄. Χρυσοῦ δίχα, ὥς περ ὁ ἔμπορος οὐ πέφυκεν ἔμπορος, κἂν λίαν πρὸς ἐμπορίαν ἐστὶν ἐπιτήδειος, οὕτως οὐδὲ ταπεινοφροσύνης χωρίς, ἐν κατασχέσει τῶν τῆς ἀρετῆς ἡδέων εὑρεθήσεται ὁ ἀσκούμενος, κἂν πάνυ τῇ ἑαυτοῦ νουνεχείᾳ θαῤῥῇ.

μβ΄. Τῇ ταπεινοφροσύνῃ ὁ ἀνιών, κατώτερος τοῦ ἑαυτοῦ φρονήματος γίνεται· ἀνώτερος δέ, ὁ ἐκείνης χωρίς· ὃς οὐδὲ παραμετρεῖσθαι τοῖς ἐλαχίστοις ἑκουσίως ἀνέχεται καὶ διὰ τοῦτο ἐν ταῖς πρωτοκλισίαις τὸ λυπηρὸν ἐπιδείκνυται.

[του]· συγκρινόμενος ὅμως μ᾽ ἐκείνους, ποὺ ὑπερτεροῦν στὰ κακά, θεωρεῖ τὸ ἐλάττωμά του ἀνεκτό.

39. Ἡ μὲν ἐπίκρισι [κάνει τὴν ψυχὴ] ἰσχυρή, ὁ δὲ ἔπαινος κάνει τὴν ψυχὴ ἀδύνατη καὶ νωθρότερη [ἀπρόθυμη] γιὰ τὰ καλά.

40. Ἡ μὲν ὑπόστασι τοῦ πλούτου [εἶναι] τὰ χρήματα· [ἡ ὑπόστασι] δὲ τῆς ἀρετῆς [εἶναι] ἡ ταπείνωσι. Ὅπως, ἑπομένως, ἐκεῖνος ὁ ὁποῖος στερεῖται χρημάτων εἶναι πτωχός, ἀκόμη κι ἂν δὲν ἀποκαλύπτεται ἀπὸ τὰ ἐξωτερικὰ [χαρακτηριστικά του, ὡς τέτοιος], κατὰ τὸν ἴδιο τρόπο, χωρὶς ταπείνωσι, ὁ ἀγωνιζόμενος δὲν θὰ εἶναι ἐνάρετος.

41. Ὅπως ἀκριβῶς χωρὶς χρήματα, ὁ ἔμπορος, φύσει, δὲν εἶναι ἔμπορος, ἀκόμη κι ἂν εἶναι πολὺ ἐπιτήδειος γιὰ ἐμπορία, κατὰ τὸν ἴδιο τρόπο οὔτε [καὶ] ἐκεῖνος, ὁ ὁποῖος κάνει [πνευματικὴ] ἄσκησι θὰ βρεθῇ στὴν ἀπόκτησι τῶν γλυκῶν [καταστάσεων] τῆς ἀρετῆς, χωρὶς ταπεινοφροσύνη, ἀκόμη κι ἂν ἐμπιστεύεται πολὺ τὴν σύνεσί [του].

42. Ἐκεῖνος, ὁ ὁποῖος ἀνυψώνεται [πνευματικὰ] μὲ τὴν ταπεινοφροσύνη, κατεβάζει χαμηλότερα τὴν ἐκτίμησι, [ποὺ ὁ ἴδιος ἔχει] γιὰ τὸν ἑαυτόν του. Ἐνῶ ἐκεῖνος, [ὁ ὁποῖος εἶναι] χωρὶς ἐκείνη, [δηλαδή, τὴν ταπεινοφροσύνη, ἀνεβάζει τὴν αὐτοεκτίμησί του] ὑψηλότερα. Αὐτός οὐδὲ κἂν ἀνέχεται ἑκουσίως, [ἀπὸ μόνος του], νὰ συγκαταριθμῆται μὲ τοὺς πλέον ἀσήμους [ἀνθρώπους] καὶ ἕνεκα αὐτοῦ, [δηλαδή, τῆς συγκαταριθμήσεώς του μὲ τοὺς πλέον ἀσήμους] στὶς πρωτοκαθεδρίες, κάνει ἐπιδεικτικὰ φανερὴ τὴν πικρία [του].

μγʹ. Καλὸν τῷ ἀγωνιστῇ φρονεῖν μὲν ἥττονα τῆς ἐργασίας αὐτοῦ· πράττειν δὲ κρείττονα τῆς δειλίας αὐτοῦ. Οὕτω γὰρ ἂν καὶ ἀνθρώποις αἰδέσιμος, καὶ Θεῷ ἐργάτης εὑρίσκεται ἀνεπαίσχυντος.

μδʹ. Ἢ κατορθοῦσθαι δεῖ πρὸς πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ, ἢ μιᾶς ἀντιποιεῖσθαι, τῆς ταπεινοφροσύνης, τὸν δεδιότα μὴ ξένον τῶν ἐν τῷ νυμφῶνι ἀνακειμένων ὀφθήσεσθαι[6].

μεʹ. Μεῖξον τῇ ἁπλότητι τὴν ἐγκράτειαν, καὶ σύζευξον τῇ ταπεινοφροσύνῃ τὴν ἀλήθειαν, καὶ ὀφθήσῃ δικαιοσύνης συνέστιος, ἧς ἐπὶ τραπέζης ἄλλη πᾶσα φιλεῖ συνάγεσθαι ἀρετή.

μςʹ. Τυφλὴ τῆς ταπεινοφροσύνης χωρίς, ἡ ἀλήθεια. Διὰ τοῦτο καὶ τῇ ἀντιλογίᾳ χρῆται χειραγωγῷ· ἐρεῖσαι μὲν αὐτῇ ἐπί τι μοχθούσῃ, μὴ εὑρισκούσῃ δὲ εἰμὴ τὸ τῆς μνησικακίας ὀχύρωμα.

μζʹ. Ἦθος χρηστόν, ὡραιότητα μαρτυρεῖ ἀρετῆς. Μελῶν δὲ εὐστάθεια, εἰρηναίαν ψυχήν.

μηʹ. Πρῶτον μὲν καλόν, τὸ ἐν μηδενὶ μέρει προσπταίειν.

43. [Εἶναι] καλὸ γιὰ τὸν ἀγωνιστὴ νὰ ἔχῃ μὲν κατώτερη γνώμη γιὰ τὴν ἐργασία του· ἀλλὰ νὰ πράττῃ ἀνώτερα ἀπὸ τὴν δειλία του. Κατ᾽ αὐτὸν τὸν τρόπο θὰ γινόταν καὶ στοὺς ἀνθρώπους σεβάσμιος καὶ στὸν Θεὸ ἐργάτης, χωρὶς κάποιο λόγο γιὰ νὰ ντρέπεται.

44. Ἐκεῖνος, ποὺ φοβᾶται μήπως θεωρηθῇ ξένος ἀπὸ ἐκείνους, οἱ ὁποῖοι βρίσκονται στὸν νυμφῶνα [τοῦ Κυρίου], πρέπει ἢ νὰ γίνεται τέλειος ἐν σχέσει πρὸς ὅλες τὶς ἐντολὲς τοῦ Θεοῦ ἢ νὰ ζητᾷ νὰ οἰκειοποιηθῇ μία [ἐντολή, δηλαδή], τὴν ταπεινοφροσύνη.

45. Ἕνωσε τὴν ἐγκράτεια μὲ τὴν ἁπλότητα καὶ σύνδεσε τὴν ἀλήθεια μὲ τὴν ταπεινοφροσύνη καὶ θὰ φανῇς ὁμοτράπεζος τῆς δικαιοσύνης [τῆς σύνολης ἀρετῆς], στὸ τραπέζι τῆς ὁποίας ἀγαπᾶ νὰ συνάζεται κάθε ἄλλη ἀρετή.

46. Ἡ ἀλήθεια [εἶναι] τυφλὴ χωρὶς τὴν ταπεινοφροσύνη. Γι᾽ αὐτὸ καὶ χρησιμοποιεῖ γιὰ χειραγωγό [της] τὴν ἀντιλογία, γιὰ νὰ ἀκουμπᾷ βέβαια σ᾽ αὐτήν, ὅταν κοπιάζῃ γιὰ κάτι, ἂν καὶ μᾶλλον δὲν βρίσκει [τίποτα], παρὰ [μόνο] τὴν ὀχυρωμένη θέσι τῆς μνησικακίας.

47. Τὸ χρηστὸ [τὸ ἀγαθὸ] ἦθος μαρτυρεῖ τὴν ὡραιότητα τῆς ἀρετῆς. Ἡ δὲ ἠρεμία τῶν μελῶν [μαρτυρεῖ] εἰρηνικὴ ψυχή.

48. Πρῶτο μὲν καλὸ [εἶναι] τὸ νὰ μὴν σφάλλῃ [κανεὶς] σὲ καμιὰ πλευρὰ

Δεύτερον δέ, τὸ μὴ αἰδοῖ κατακρύπτειν τὸ σφάλμα αὐτοῦ, μήτε μὴν ἀναδύεσθαι ἐν αὐτῷ· μᾶλλον δὲ ταπεινοῦσθαι, καὶ κατηγορουμένου ἑαυτοῦ συγκατηγορεῖν, καὶ δέχεσθαι ἀσμένως τὸ ἐπιτίμιον. Τούτου δὲ μὴ γινομένου, ἀνίσχυρον ἅπαν τὸ τῷ Θεῷ προσφερόμενον.

μθ΄. Πρὸς τῇ ἑκουσίᾳ κακοπαθείᾳ, χρὴ καὶ τὴν ἀκούσιον καταδέχεσθαι, τὴν ἐκ διαβόλων, λέγω, ζημιῶν τε, καὶ ἀσθενειῶν. Ταῦτα γὰρ ὁ μὴ καταδεχόμενος, ἀλλὰ ἀποδυσπετῶν, ὅμοιός ἐστι τῷ μὴ μετὰ ἁλός, μετὰ δὲ μέλιτος μόνου βουλομένου ἐσθίειν τὸν ἄρτον αὐτοῦ. Ὃς οὐ πάντοτε μὲν τὴν ἡδονὴν ἔχει σύντροφον, τὸν δὲ κόρον ἀεὶ γείτονα κέκτηται.

ν΄. Δεσπότης ὤν, δούλου σχῆμα[7] *περιβαλλόμενος φαίνεται, ὁ τὸ διεῤῥωγὸς πλύνων τοῦ πλησίον λόγοις ἐνθέοις ἱμάτιον· ἢ καταῤῥάπτων ταῖς μεταδόσεσι. Σκοπείτω δὲ ὁ τοῦτο ποιῶν μήποτε διὰ τὸ μὴ ὡς δοῦλος τοῦτο τελεῖν, συναπολέσῃ καὶ τὸν μισθὸν καὶ τὸ προσὸν αὐτῷ τῆς ἐξουσίας διὰ κενοδοξίαν ἀξίωμα.*

[πουθενά]. Δεύτερο δὲ [καλὸ εἶναι] τὸ νὰ μὴν ἀποκρύπτῃ ἀπὸ ντροπὴ τὸ σφάλμα του οὔτε βέβαια νὰ προβάλλῃ [ὑπερήφανα] μέσα σ᾽ αὐτό· μᾶλλον δὲ νὰ ταπεινώνεται καὶ ὅταν ὁ ἴδιος κατηγορῆται, νὰ κατηγορῇ μαζὶ [ὁ ἴδιος τὸν ἑαυτόν του] καὶ νὰ δέχεται εὐχαρίστως τὸ ἐπιτίμιο. Ἐὰν ὅμως δὲν γίνεται αὐτό, [εἶναι χωρὶς ἰσχὺ] ἄκυρο κάθε τι, τὸ ὁποῖο προσφέρεται στὸν Θεό.

49. Ἐπιπλέον μὲ τὴν ἑκούσια κακοπάθεια πρέπει νὰ ἀποδέχεται [κανεὶς] καὶ τὴν ἀκούσια ἀπὸ τὸν διάβολο, [δηλαδὴ] λέγω ἀπὸ ζημιὲς καὶ ἐπίσης ἀπὸ ἀσθένειες. Διότι ἐκεῖνος, ποὺ δὲν καταδέχεται αὐτά, ἀλλὰ δυσφορεῖ ἔντονα εἶναι ὅμοιος μ᾽ ἐκεῖνον, ὁ ὁποῖος θέλει νὰ τρώγῃ τὸ ψωμί του μόνο μὲ μέλι καὶ ὄχι μὲ ἁλάτι. Αὐτὸς δὲν ἔχει, βέβαια, πάντοτε σύντροφό [του] τὴν ἡδονή, ἀλλὰ ἔχει ἀποκτήσει πάντοτε γείτονα τὴν ὑπεροψία.

50. Ἂν καὶ εἶναι κύριος, φαίνεται ὅτι περιβάλλεται σχῆμα δούλου, ἐκεῖνος, ὁ ὁποῖος πλένει τὸ σχισμένο ἔνδυμα τοῦ πλησίον [του] μὲ θεῖα λόγια· ἢ [τὸ] ἀποκαθιστᾶ ραμμένο μὲ τὴν μετάδοσι τῶν ἀχράντων μυστηρίων. Ἂς προσέξῃ, ὅμως, μήπως ποτέ, ἐξαιτίας τοῦ ὅτι δὲν ἐπιτελεῖ αὐτὸ ὡς δοῦλος, ἀπολέσῃ μαζί, ἕνεκα κενοδοξίας, καὶ τὸν μισθὸ καὶ τὸ ἀξίωμα τῆς ἐξουσίας, ποὺ τοῦ ἀνήκει.

να΄. Ὥς περ ἡ πίστις ἐλπιζομένων ὑπόστασις[8] πέφυκεν, οὕτω ψυχῆς μὲν ἡ φρόνησις, ἀρετῆς δὲ ἡ ταπείνωσις· καὶ θαῦμα πῶς τὰ αὐτοτελῆ, τῶν συμβεβηκότων δίχα, ἀτελῆ καθεστήκασιν.

νβ΄. Κύριος φυλάξει τὴν εἴσοδόν σου, φησί, καὶ τὴν ἔξοδόν σου[9], τῶν βρωμάτων δηλονότι καὶ τῶν ῥημάτων τῇ ἐγκρατείᾳ. Ἐγκρατῶς γὰρ ὁ ἔχων περὶ τὴν τῶν βρωμάτων καὶ ῥημάτων εἴσοδόν τε καὶ ἔξοδον, ἐπιθυμίαν μὲν τὴν ἐξ ὀφθαλμῶν ἀποδιδράσκει· θυμὸν δὲ τὸν ἐξ ἀνοίας καταπραΰνει· ὧν καὶ δεῖ πρὸ πάντων ποιεῖσθαι τὴν ἐπιμέλειαν τὸν ἀγωνιζόμενον, καὶ παντὶ τρόπῳ σπουδαστέον. Ἐν τούτοις γὰρ τὸ μὲν πρακτικὸν ἔῤῥωται, τὸ δὲ θεωρητικὸν ἐστερέωται.

νγ΄. Τινὲς μὲν περὶ τὴν εἴσοδον τῶν βρωμάτων, πολλὴν ποιοῦνται τὴν ἐπιμέλειαν· περὶ δὲ τὴν ἔξοδον τῶν ῥημάτων, ἀμελῶς διατίθενται. Οἱ τοιοῦτοι, οὐκ ἐπίστανται παράγειν θυμὸν ἀπὸ καρδίας[10], ἐπιθυμίαν δὲ ἀπὸ σαρκός, κατὰ τὸν Ἐκκλησιαστήν· δι᾽ ὧν ἡ καθαρὰ καρδία κτί-

51. Ὅπως ἀκριβῶς ἡ πίστι, ἐκ φύσεως, ὑποστασιάζει [φανερώνει τὴν πραγματικότητα] ἐκείνων, τὰ ὁποῖα ἐλπίζονται, κατὰ τὸν ἴδιο τρόπο ὑποστασιάζει [φανερώνει τὴν πραγματικότητα], ἀφ᾽ ἑνὸς τῆς ψυχῆς ἡ φρόνησι, ἀφ᾽ ἑτέρου τῆς ἀρετῆς ἡ ταπείνωσι· καὶ [εἶναι] θαῦμα πῶς τὰ αὐτοτελῆ, [δηλαδή, ἡ ψυχὴ καὶ ἡ ἀρετή], χωρὶς τὰ [ἀντίστοιχα] συμβεβηκότα [τὴν φρόνησι καὶ τὴν ταπείνωσι], ἀποβαίνουν ἀτελῆ[3].

52. [Ὁ Προφητάναξ Δαυΐδ] λέγει: ὁ Κύριος θὰ φυλάξῃ τὴν εἴσοδό σου καὶ τὴν ἔξοδό σου, δηλαδή, [θὰ φυλάξῃ] διὰ τῆς ἐγκρατείας [τὴν εἴσοδο] τῶν φαγητῶν καὶ [τὴν ἔξοδο] τῶν λόγων [σου]. Διότι ἐκεῖνος, ὁ ὁποῖος ἐγκρατεύεται, σχετικὰ μὲ τὴν εἴσοδο, ἀλλὰ καὶ τὴν ἔξοδο, τῶν φαγητῶν καὶ τῶν λόγων, ἀποφεύγει μὲν τὴν ἐπιθυμία, [ποὺ γεννᾶται], ἐξ αἰτίας τῶν ὀφθαλμῶν· καταπραΰνει δὲ τὸν θυμό, [ὁ ὁποῖος γεννᾶται ἀπὸ ἀνοησία]· καὶ γιὰ τὰ ὁποῖα, [τὴν ἀποφυγὴ τῆς ἐπιθυμίας καὶ τὴν καταπράϋνσι τοῦ θυμοῦ], πρέπει ὁ ἀγωνιζόμενος, πρὶν ἀπ᾽ ὅλα νὰ φροντίζῃ καὶ μὲ κάθε τρόπο πρέπει νὰ καταγίνεται μὲ ζῆλο. Διότι μ᾽ αὐτὰ [τὴν ἀποφυγὴ τῆς ἐπιθυμίας καὶ τὴν καταπράϋνσι τοῦ θυμοῦ] τὸ μὲν πρακτικὸ [μέρος τοῦ πνευματικοῦ ἀγῶνος] ἐνισχύεται, τὸ δὲ θεωρητικὸ στερεώνεται.

53. Μερικοὶ προσέχουν μὲν πολὺ σχετικὰ μὲ τὴν εἴσοδο τῶν φαγητῶν· σχετικὰ ὅμως μὲ τὴν ἔξοδο τῶν λόγων [τους] συμπεριφέρονται μὲ ἀμέλεια. Αὐτοὶ δὲν γνωρίζουν, νὰ ἀπομακρύνουν τὸν θυμὸ ἀπὸ τὴν καρδία, καὶ τὴν ἐπιθυμία ἀπὸ τὴν σάρκα, σύμφωνα μὲ τὸν Ἐκκλησιαστή· διὰ τῶν ὁποίων [τῆς ἀπομακρύνσεως τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας] συνηθίζει νὰ οἰκοδομῆται

ζεσθαι εἴωθε παρὰ τοῦ καινουργοῦ πνεύματος.

νδ΄. Τὸ μὲν τῶν βρωμάτων ἀπέριττον, περὶ τὴν ἥττω τροφῆς ποιότητα· τὸ δὲ τῶν ῥημάτων ἀνέγκλητον, περὶ τὴν κρείττω σιωπῆς ποιότητα εὑρεθήσεται.

νε΄. Πύρωσον τοὺς νεφρούς σου ἀσιτίᾳ βρωμάτων, καὶ ἔτασον τὴν καρδίαν σου ἐγκρατείᾳ ῥημάτων· καὶ ἕξεις ἐπὶ ὑπηρεσίαν καλῶν, τὸ ἐπιθυμητικόν τε, καὶ θυμικόν.

νς΄. Ἡ μὲν τῶν ὑπογαστρίων ἡδονή, καταπίπτει ἐν ἀσκουμένοις, τοῦ σώματος παρακμάσαντος· ἔτι δὲ παραμένει ἡ τοῦ φάρυγγος, τῷ μὴ φθάσαντι ταύτην ἐνδίκως κολάσαι. Σπουδάσαι οὖν χρὴ διὰ τοῦ αἰτίου, τοῦ αἰτιατοῦ τὸν ὀνειδισμὸν ἀποτρίψασθαι· ὡς ἂν μὴ ξένος ἐκεῖσε τῆς κατὰ τὴν ἐγκράτειαν ἀρετῆς εὑρεθείς, αἰσχύνῃ περιβληθῇς.

νζ΄. Ἀναγκαῖον εἰδέναι τὸν ἀσκητήν, πότε καὶ τίσι βρώμασι δεῖ τὸ σῶμα ὡς ἐχθρὸν τρέφειν, πότε δὲ ὡς φίλον παρακαλεῖν, καὶ πότε παραμυθεῖσθαι ὡς ἀσθενῆ· ἵνα μὴ λάθῃ τὰ μὲν τοῦ ἐχθροῦ τῷ

ἡ καθαρὰ καρδία ἀπὸ τὸ καινοποιὸ [Πανάγιο] Πνεῦμα.

54. Ἡ μὲν λιτότητα τῶν φαγητῶν [ἐξευρίσκεται συνήθως] γύρω ἀπὸ τὴν κατώτερη ποιότητα τῆς τροφῆς· τὸ δὲ ἀνεπίληπτο τῶν λόγων συνήθως ἐξευρίσκεται γύρω ἀπὸ τὴν ἀνώτερη ποιότητα τῆς σιωπῆς.

55. Πύρωσε τοὺς νεφρούς σου μὲ τὴν ἀποχὴ ἀπὸ τὰ φαγητὰ καὶ βασάνισε τὴν καρδία σου μὲ τὴν ἐγκράτεια τῶν λόγων· καὶ θὰ ἔχῃς στὴν ὑπηρεσία τῶν καλῶν καὶ τὸ ἐπιθυμητικὸ καὶ τὸ θυμικὸ [μέρος τῆς ψυχῆς, ὅπου ἑδράζει ἀντίστοιχα ἡ ἐπιθυμία καὶ ὁ θυμός].

56. Σ᾽ ἐκείνους, οἱ ὁποῖοι ζοῦν μὲ ἄσκησι, ἡ μὲν ἡδονὴ ἀπὸ τὰ σαρκικά, καταβάλλεται ἐντελῶς, ὅταν παρακμάσῃ τὸ σῶμα· ἀκόμη ὅμως παραμένει [ἡ ἡδονὴ] τοῦ φάρυγγα σ᾽ ἐκεῖνον, ὁ ὁποῖος δὲν πρόφθασε [μέχρι τότε] νὰ τὴν συγκρατήσῃ ὀρθά. Πρέπει, ἑπομένως, νὰ φροντίσῃς νὰ ἀποσοβήσῃς τὸν ὀνειδισμὸ τοῦ αἰτιατοῦ [τῆς ἡδονῆς] διὰ [τῆς συγκρατήσεως] τοῦ αἰτίου [τῆς ἐπιθυμίας τοῦ φάρυγγα]· ὥστε νὰ μὴν περιβληθῇς ἐκεῖ [στὴν μέλλουσα ζωὴ] τὴν αἰσχύνη, ἐπειδὴ θὰ βρεθῇς ξένος ἀπὸ τὴν ἀρετὴ τῆς ἐγκρατείας.

57. Εἶναι ἀναγκαῖο νὰ γνωρίζῃ ὁ ἀσκητής, πότε καὶ μὲ ποιὰ φαγητὰ πρέπει νὰ τρέφῃ τὸ σῶμα σὰν ἐχθρὸ καὶ πότε νὰ [τὸ] παρηγορῇ σὰν φίλο καὶ πότε νὰ [τὸ] ἀνακουφίζῃ σὰν ἀσθενῆ, γιὰ νὰ μὴν παραθέσῃ κατὰ λάθος στὸν ἐχθρὸ μὲν ἐκεῖνα [τὰ φαγητά, τὰ ὁποῖα ἁρμόζουν] στὸν

φίλῳ, τὰ δὲ τοῦ φίλου τῷ ἐχθρῷ, καὶ τὰ τούτου πάλιν τῷ ἀσθενεῖ παρατιθείς, καὶ ἑκατέρους ὡς σκανδαλίσας, καιρῷ πειρασμοῦ εὑρήσει πολεμοῦντας αὐτόν.

νη'. Ὅταν τῆς τρυφῆς τὴν τροφὴν ὁ τρεφόμενος προτιμοτέραν ποιήσηται, τότε ἡ τῶν δακρύων ἐπιδημήσασα χάρις αὐτῷ, παρακαλεῖν ἄρχεται· καὶ ἄλλης πάσης ἡδύτητος ἐπιλανθάνεσθαι, ὡς ἤδη τῇ τούτων καταποθείσης ἀσυγκρίτως ἡδύτητι.

νθ'. Τῷ μὲν πλατυνομένῳ, συνεστάλη τὰ δάκρυα· ἐξεβλήθη δὲ ταῦτα, τῷ τήν στενὴν ὁδὸν ἀγαπήσαντι[11].

ξ'. Οὐκ ἔστι λύπης ἐκτός, οὔτε ἁμαρτωλός, οὔτε δίκαιος· ἀλλ' ὁ μέν, ὅτι μὴ πάντη ἀπέλιπε τὸ κακόν· ὁ δέ, ὅτι οὔπω τῆς τελειότητος ἥψατο.

ξα'. Τῶν ἐφ' ἡμῖν, αἱ κατὰ δύναμιν ἀρεταί, εὐχή τε, καὶ σιωπή· τῶν οὐκ ἐφ' ἡμῖν δέ, ἀλλ' ὡς τὰ πολλὰ τῆς τοῦ σώματος κατασκευῆς, νηστεία, καὶ ἀγρυπνία εἰσί. Ὅπερ οὖν τῷ ἀγωνιστῇ εὐληπτότερον, τοῦτο μετέρχεσθαι χρή.

ξβ'. Οἶκος μὲν ψυχῆς, ἡ ὑπομονή· περικρατεῖται γὰρ ἐν

φίλο καὶ ἐκεῖνα [τὰ ὁποῖα ἁρμόζουν] στὸν φίλο, στὸν ἐχθρὸ καὶ πάλι ἐκεῖνα [τὰ ὁποῖα ἁρμόζουν] σ' αὐτόν, [δηλαδή, στὸν ἐχθρὸ νὰ μὴν τὰ παραθέση κατὰ λάθος] στὸν ἀσθενῆ καὶ πετύχη νὰ τὸν πολεμοῦν σὲ καιρὸ πειρασμοῦ ὁ καθένας ξεχωριστά, διότι πράγματι [τοὺς] ἐσκανδάλισε [ὅλους].

58. Ὅταν ἐκεῖνος, ὁ ὁποῖος λαμβάνει τροφή, προτιμήση ἀντὶ τῆς ἡδονικῆς ἀπολαύσεως περισσότερο τὴν [ἀναγκαία] τροφή, τότε ἡ Χάρις τῶν δακρύων, ἀφοῦ ἐπιστρέψη σ' αὐτόν, ἀρχίζει νὰ [τὸν] παρηγορῆ· καὶ [νὰ τὸν κάνη] νὰ λησμονῆ κάθε ἄλλη γλυκύτητα, καθὼς τώρα πλέον [αὐτὴ] ἀφανίσθηκε ἀπὸ τὴν κατὰ ἀσύγκριτο μέγεθος γλυκύτητα αὐτῶν [τῶν δακρύων τῆς Χάριτος].

59. Σ' ἐκεῖνον, ποὺ ζῇ τὴν πλατεῖα ὁδὸ [τοῦ ἐγωϊσμοῦ καὶ τῆς τρυφῆς] μειώθηκαν τὰ δάκρυα· ἀλλὰ ἐξεχύθησαν αὐτὰ σ' ἐκεῖνον, ὁ ὁποῖος ἀγάπησε τὴν στενὴ ὁδὸ [τῆς ταπεινώσεως καὶ τῆς ἐγκρατείας].

60. Οὔτε ὁ ἁμαρτωλός, οὔτε ὁ δίκαιος εἶναι χωρὶς λύπη· ἀλλὰ ὁ μὲν [ἁμαρτωλός], διότι σὲ κάθε περίπτωσι δὲν ἐγκατέλειψε τὸ κακό· ὁ δὲ δίκαιος, διότι δὲν ἔφθασε ἀκόμη στὴν τελειότητα.

61. Οἱ κατὰ τὴν δύναμί [μας] ἀρετὲς καὶ ἡ εὐχὴ καὶ ἡ σιωπὴ [εἶναι] ἀπ' [ἐκεῖνα, ποὺ ἐξαρτῶνται] ἀπὸ ἐμᾶς· ἡ νηστεία καὶ ἡ ἀγρυπνία, ὅμως, εἶναι ἀπ' [ἐκεῖνα, ποὺ δὲν ἐξαρτῶνται] ἀπὸ ἐμᾶς, ἀλλὰ ὡς ἐπὶ τὸ πλεῖστον ἀπὸ τὴν κατασκευὴ τοῦ σώματος. Αὐτό, ἑπομένως, ποὺ εὐκολώτερα κατακτᾶται ἀπὸ τὸν ἀγωνιστή, αὐτὸ πρέπει [καὶ] νὰ μετέρχεται.

62. Ἡ μὲν ὑπομονὴ [εἶναι] οἶκος τῆς ψυχῆς· διότι [ἡ ψυχὴ] διαφυλάσσεται ἰσχυρῶς

αὐτῇ. Χρῆμα δέ, ἡ ταπείνωσις· τρέφεται γὰρ δι᾽ αὐτῆς.

ξγ΄. Πόνοις μὴ καρτερῶν, ἐπαίνοις οὐ τιμηθήσῃ. Πρὸ δὲ τῆς ἡδονῆς τὴν ὀδύνην ἀποσκοπῶν, ἐκφεύξῃ ταύτης τὸ λυπηρόν.

ξδ΄. Μὴ δεσμευθῇς τῷ μικρῷ, καὶ οὐ δουλεύσεις τῷ μείζονι. Οὐ γὰρ πέφυκε τὸ μεῖζον κακόν, πρὸ τοῦ μικροῦ διαπλάττεσθαι.

ξε΄. Ἀφορῶν πρὸς τά μείζονα, φοβερὸς ἔσῃ τοῖς ἥττοσιν. Εὐκαταφρόνητος δὲ τούτοις ὀφθήσῃ πρὸς ἐκεῖνα ἀπειρηκώς.

ξϛ΄. Οὐ δυνήσῃ ἐπὶ τὰς μείζους φθάσαι τῶν ἀρετῶν, μὴ τῶν κατὰ δύναμιν καταλαβὼν τὴν ἀκρότητα.

ξζ΄. Ἐν οἷς κρατεῖ ἔλεος, καὶ ἀλήθεια, ἐν ἐκείνοις, καὶ πᾶν εἴτι θεάρεστον. Ἡ μὲν γάρ, οὐδένα κρίνει, ἐλέους χωρίς. Ὁ δέ, φιλανθρωπεύεται ἐν οὐδενί, ἀληθείας ἐκτός.

ξη΄. Τῇ ἁπλότητι κερασάμενος τὴν ἐγκράτειαν, ἐν περιλήψει γενήσῃ τῆς ἐκεῖθεν μακαριότητος.

ξθ΄. Οὐκ ὄψει πάντως τὰ πολεμοῦντά σε πάθη, εἰμὴ πρότερον τὴν γῆν, ἐξ ἧς ἐτρέ-

μέσα σ᾽ αὐτήν. Πλοῦτος δὲ [τῆς ψυχῆς εἶναι] ἡ ταπείνωσι· διότι [ἡ ψυχὴ] τρέφεται δι᾽ αὐτῆς.

63. Ἐὰν δὲν ὑπομένῃς τοὺς κόπους, δὲν θὰ τιμηθῇς μὲ τοὺς ἐπαίνους. Καὶ ἐὰν προσβλέπῃς, πρὶν ἀπὸ τὴν ἡδονή, στὴν ὀδύνη, [ἡ ὁποία ἐπέρχεται μετὰ τὴν ἡδονή], θὰ ἀποφύγῃς τὴν λύπη αὐτῆς [τῆς ὀδύνης].

64. Νὰ μὴν δεσμευθῇς στὸ μικρὸ [κακὸ] καὶ δὲν θὰ ὑποδουλωθῇς στὸ μεγαλύτερο. Διότι τὸ μεγαλύτερο κακὸ ἐκ φύσεως δὲν διαπλάθεται πρὶν ἀπὸ τὸ μικρό.

65. Ἐὰν ἀποσκοπῇς πρὸς τὰ μεγαλύτερα, θὰ εἶσαι φοβερὸς στὰ μικρότερα. Θὰ φανῇς ὅμως εὐκαταφρόνητος [καὶ] σ᾽ αὐτὰ [τὰ μικρότερα], ἐὰν ἔχῃς παραιτηθῇ ὡς πρὸς ἐκεῖνα [τὰ μεγαλύτερα].

66. Δὲν θὰ μπορέσῃς νὰ φθάσῃς στὶς μεγαλύτερες ἀπὸ τὶς ἀρετές, ἐὰν δὲν ἔφθασες στὸ ἔσχατο σημεῖο [στὴν ἀρίστη ἔκφρασι] τῶν ἀνάλογων πρὸς τὴν δύναμί [σου ἀρετῶν].

67. Σ᾽ ἐκείνους, στοὺς ὁποίους κυριαρχεῖ τὸ ἔλεος καὶ ἡ ἀλήθεια, σ᾽ ἐκείνους καὶ κάθε τι [εἶναι] θεάρεστο περισσότερο ἀπὸ ὁτιδήποτε. Διότι ἡ μὲν [ἀλήθεια] δὲν κρίνει κανέναν χωρὶς ἔλεος. Τὸ δὲ ἔλεος σὲ κανέναν δὲν φέρεται μὲ φιλανθρωπία χωρὶς ἀλήθεια.

68. Ἐὰν συνενώσῃς στὴν ἁπλότητα τὴν ἐγκράτεια, θὰ ἐναγκαλισθῇς, [θὰ λάβῃς βιωματικὴ ἐμπειρία ἀπὸ] τὴν ἐπέκεινα μακαριότητα [στὴν μέλλουσα ζωή].

69. Ὁπωσδήποτε δὲν θὰ δῇς τὰ πάθη, τὰ ὁποῖα σὲ πολεμοῦν, ἐὰν προηγουμένως δὲν ἀφήσῃς ἀκαλλιέργητη

φοντο, ἐάσης ἀνήρωτον.

ο'. Οἱ μέν, τὴν τοῦ σώματος ὕλην μόνον ἐκκαθᾶραι σπεύδουσιν· οἱ δέ, καὶ τῆς ψυχῆς. Οἱ μὲν γὰρ πρὸς μόνην τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν ἰσχὺν ἔλαβον, οἱ δὲ πρὸς τὸ πάθος. Πρὸς δὲ τὴν κατ᾽ ἐπιθυμίαν πάνυ ἐλάχιστοι.

οα'. Ὕλη πονηρὰ σώματος, ἐμπάθεια· ψυχῆς δέ, ἡδυπάθεια. Προσπάθεια δὲ τοῦ νοός. Κατηγορεῖται δὲ τῆς μέν, ἁφή. Τῆς δέ, αἱ λοιπαὶ αἰσθήσεις. Τῆς δὲ τελευταίας, ἐναντία διάθεσις.

οβ'. Ὁ μὲν ἡδυπαθής, πλησίον ἐστὶ τοῦ ἐμπαθοῦς· ὁ δὲ προσπαθής, τοῦ ἡδυπαθοῦς. Μακρὰν δὲ ἀμφοτέρων ὁ ἀπαθής.

ογ'. Ἐμπαθής ἐστιν, ὁ τὸ ἁμαρτητικὸν τοῦ λογισμοῦ βιαιότερον ἔχων, κἂν τέως μὴ ἁμαρτάνῃ ἐκτός. Ἡδυπαθὴς δέ, ὁ τὴν ἐνέργειαν τῆς ἁμαρτίας ἔχων τοῦ λογισμοῦ, κἂν πάσχῃ ἐντός. Προσπαθὴς δέ, ὁ τῇ ἐλευθερίᾳ μᾶλλον ἢ τῇ δουλείᾳ τῶν μέσων προσκείμενος. Ἀπαθὴς δ᾽ ἂν εἴη, ὁ τούτων πάντων τὴν διαφορὰν ἀγνοῶν.

οδ'. Ἀπόλλυται ἐκ ψυχῆς ἐμ-

τὴν γῆ, ἀπὸ τὴν ὁποία ἐτρέφοντο.

70. Κάποιοι προσπαθοῦν νὰ καθαρίσουν μόνο τὸν ρύπο τοῦ σώματος· κάποιοι ἄλλοι [προσπαθοῦν νὰ καθαρίσουν] καὶ τὸν ρύπο τῆς ψυχῆς. Διότι οἱ μὲν [πρῶτοι] ἀπέκτησαν ἰσχὺ μόνο ἐναντίον τῆς ἐμπράκτου ἁμαρτίας, ἐνῶ οἱ [δεύτεροι καὶ] ἐναντίον τοῦ πάθους. Πολὺ ἐλάχιστοι, ὅμως, [ἀπεκτησαν ἰσχύ], ἐναντίον τῆς [ἁμαρτίας], ὅσον ἀφορᾶ τὴν ἐπιθυμία.

71. Πονηρὸς ρύπος τοῦ σώματος [εἶναι] ἡ ἐμπάθεια [ἡ κίνησι γιὰ ἐξωτερικὴ ἐκδήλωσι τῆς ἁμαρτίας]· ἐνῶ [πονηρὸς ρύπος] τῆς ψυχῆς, [ἄλλως τῆς καρδίας, εἶναι] ἡ ἡδυπάθεια, [δηλαδή, ἡ φιληδονία, ἡ ἐσωτερικὴ ἐκδήλωσι τῆς ἁμαρτίας]· καὶ [πονηρὸς ρύπος] τοῦ νοὸς [εἶναι] ἡ προσπάθεια [ἡ ἐμπαθὴς προσκόλλησι]. Κατηγορεῖται δὲ [ὡς ἔνοχος] γιὰ τὴν μὲν [ἐμπάθεια] ἡ ἁφή. Ἐνῶ γιὰ τὴν [ἡδυπάθεια κατηγοροῦνται ὡς ἔνοχες] οἱ ὑπόλοιπες αἰσθήσεις. Καὶ γιὰ τὴν τελευταία, [τὴν προσπάθεια, κατηγορεῖται ὡς ἔνοχος] ἡ ἀντίθετη διάθεσι, [ἡ ἐκ τοῦ πονηροῦ].

72. Ὁ μὲν ἡδυπαθής, [ὁ φιλήδονος] εἶναι πλησίον τοῦ ἐμπαθοῦς· ὁ δὲ προσπαθὴς [ἐκεῖνος, ποὺ ἔχει προσπάθεια εἶναι πλησίον] τοῦ ἡδυπαθοῦς. Ὁ ἀπαθής, ὅμως, [εἶναι] μακριὰ καὶ ἀπὸ τὸν ἕνα καὶ ἀπὸ τὸν ἄλλο.

73. Ἐμπαθὴς εἶναι ἐκεῖνος, ὁ ὁποῖος ἔχει πιὸ ἀσυγκράτητη τὴν ἔφεσι τοῦ λογισμοῦ γιὰ τὴν διάπραξι τῆς ἁμαρτίας, ἔστω κι ἂν μέχρι τότε δὲν ἁμαρτάνῃ ἐξωτερικά, [δηλαδή, δὲν ὁλοκληρώνῃ ἐξωτερικὰ τὴν ἔμπρακτη τέλεσι τῆς ἁμαρτίας]. Ἡδυπαθὴς δὲ [φιλήδονος εἶναι] ἐκεῖνος, ὁ ὁποῖος ἐνεργεῖ [διαπράττει] τὴν ἁμαρτία τοῦ λογισμοῦ, ἔστω καὶ ἂν τὸ πάθος ἐκδηλώνεται [μόνο] ἐσωτερικά[4]. Ἐνῶ προσπαθής, [ποὺ ἔχει προσπάθεια εἶναι] ἐκεῖνος, ὁ ὁποῖος συνδέεται περισσότερο μὲ τὴν ἐλευθερία [τῆς ἀπαθείας], παρὰ μὲ τὴν [ἐμπαθῆ] ὑποδούλωσι στὰ ἐνδιάμεσα [πράγματα, αὐτά, ποὺ ἐξωθοῦν στὴν ἁμαρτία]. Ἀπαθὴς δὲ ἤθελε εἶναι ἐκεῖνος, ὁ ὁποῖος ἀγνοεῖ τὴν διαφορὰ ὅλων αὐτῶν.

74. Ἡ μὲν ἐμπάθεια ἀφανίζεται ἀπὸ τὴν ψυ-

πάθεια μέν, διὰ νηστείας, καὶ προσευχῆς. Ἡδυπάθεια δέ, δι' ἀγρυπνίας, καὶ σιωπῆς. Ἡ δὲ προσπάθεια, διὰ ἡσυχίας, καὶ προσοχῆς. Ἀπάθεια δὲ συνίσταται, ἐκ μνήμης Θεοῦ.

οε'. Τῆς ἀπαθείας ἀπὸ χειλέων, κηρία μέλιτος οἷα, λόγοι τῆς αἰωνίου ζωῆς ἀποστάζουσι[12]. Τίς οὖν ἀξιωθείη τοῖς χείλεσιν ἐκείνης προσάψαι τὰ ἴδια· καὶ μασθοὺς ἀναμέσον αὐτῆς αὐλισθῆναι[13], καὶ ὀσμῆς ἡδείας μεταλαβεῖν ἱματίων[14] ἐκείνης· τουτέστι νόμοις ἐνηδυνθῆναι τῶν ἀρετῶν, τῶν ὑπὲρ πάντα, φησί, τὰ ἀρώματα ὄντων τῆς αἰσθητικῆς διαγνώσεως.

ος'. Γυμνοὶ τοῦ μὲν τῆς φιλαυτίας χιτῶνος, ἴσως πολλοί· ὀλίγοι δὲ τοῦ τῆς φιλοκοσμίας εἰσί. Τοῦ δὲ τῆς κενοδοξίας, ὃς καὶ ἔσχατος λέγεται, γυμνοὺς εὑρήσεις τοὺς ἀπαθεῖς.

οζ'. Τοῦ μὲν ὁρωμένου σώματος, πᾶσα ψυχὴ γυμνωθήσεται. Τοῦ δὲ τῆς ἁμαρτίας, ἡ τῆς ἐνταῦθα ζωῆς ὀλίγον τῶν ἡδέων προσαπολαύσασα.

χὴ μὲ τὴν νηστεία καὶ τὴν προσευχή. Ἡ δὲ ἡδυπάθεια μὲ τὴν ἀγρυπνία καὶ τὴν σιωπή. Καὶ ἡ προσπάθεια [ἀφανίζεται ἀπὸ τὴν ψυχὴ] μὲ τὴν ἡσυχία καὶ τὴν προσοχή. Ἐνῶ ἡ ἀπάθεια συμβαίνει [ἐπέρχεται] ἀπὸ τὴν μνήμη τοῦ Θεοῦ.

75. Ἀπὸ τὰ χείλη τῆς ἀπαθείας σταλάζουν, σὰν κερῆθρες μὲ μέλι, λόγοι τῆς αἰωνίου ζωῆς. Ποιός, λοιπόν, ἤθελε ἀξιωθῇ νὰ ἐγγίσῃ τὰ δικά του [χείλη] στὰ χείλη ἐκείνης· καὶ νὰ διαμείνῃ ἀνάμεσα στοὺς μαστούς της καὶ νὰ μεταλάβῃ τῆς γλυκείας ὀσμῆς τῶν ἱματίων ἐκείνης· δηλαδή, νὰ γευθῇ τὴν γλυκύτητα ἀπὸ τὰ προστάγματα τῶν ἀρετῶν, οἱ ὁποῖες λέγει [ἡ Ἁγία Γραφὴ] ὑπερβαίνουν [ἀσυγκρίτως] ὅλα τὰ ἀρώματα τῆς διὰ τῶν αἰσθήσεων ἐκτιμήσεως.

76. Γυμνοὶ ἀπὸ τὸ ἔνδυμα τῆς φιλαυτίας ἴσως [εἶναι] πολλοί· ἀλλὰ [εἶναι] λίγοι [οἱ γυμνοὶ] ἀπὸ [τὸ ἔνδυμα] τῆς φιλοκοσμίας. Ἀπὸ δὲ [τὸ ἔνδυμα] τῆς κενοδοξίας, τὸ ὁποῖο ὀνομάζεται καὶ τελευταῖο, γυμνοὺς θὰ εὕρῃς μόνον τοὺς ἀπαθεῖς.

77. Κάθε ψυχὴ θὰ γυμνωθῇ, βέβαια, ἀπὸ τὸ ὁρατὸ σῶμα. Ἀπὸ τὸ [σῶμα], ὅμως, τῆς ἁμαρτίας [θὰ γυμνωθῇ μόνον ἡ ψυχὴ ἐκείνη], ἡ ὁποία ἀπήλαυσε λιγοστὰ ἀπὸ τὰ εὐχάριστα τῆς ἐδῶ [παρούσης] ζωῆς.

οη΄. Νεκροὶ μὲν ἐκ ζώντων, πάντες ὀφθήσονται. Νεκρωθήσονται δὲ τῆς ἁμαρτίας[15], μόνοι οἱ ἐκ διαθέσεως ταύτην μισήσαντες.

οθ΄. Τίς ἑαυτὸν πρὸ τοῦ κοινοῦ θανάτου τοῦ σώματος ἴδῃ τῆς ἁμαρτίας γυμνόν; Καὶ τίς ὁ γνοὺς ἑαυτόν τε, καὶ τὴν ἰδίαν φύσιν, ὁποία ἐστί, πρὸ τῆς μελλούσης γυμνώσεως;

Ψυχὴν ἔρωτι νυμφικῷ τετρωμένην,
Εὐχὴ συνάπτειν οἶδεν ὧδε νυμφίῳ[16].

π΄. Τοῦ αἰσθητοῦ τε, καὶ νοεροῦ φωτὸς ἡ λογικὴ ἐν μεθορίῳ κειμένη ψυχή, διὰ μὲν τούτου καὶ πράττειν τὰ τοῦ σώματος ἐπετράπη. Δι᾽ ἐκείνου δέ, τὰ τοῦ πνεύματος. Ἀλλ᾽ ἐπειδὴ ἠμαυρώθη μὲν αὐτῇ ἐκεῖνο, ἐτρανώθη δὲ τοῦτο, διὰ τὴν ἀρχῆθεν συνήθειαν, εἰμὴ ὅλως μετὰ τοῦ νοεροῦ ἐν τῇ εὐχῇ γένηται, ὁλικῶς τοῖς θείοις ἐνατενίζειν οὐ δύναται. Ἀνάγκη δὲ εἶναι αὐτὴν ἐν μεταιχμίῳ σκότους, καὶ φωτός, κατὰ σχέσιν μὲν τούτου, κατὰ δὲ φαντασίαν ἐκείνου ἀναστρεφομένην.

78. Ἀπὸ ἐκείνους, οἱ ὁποῖοι εἶναι ἐν ζωῇ, ὅλοι θὰ ὁραθοῦν νεκροί, [θὰ γευθοῦν τὸν θάνατο]. Θὰ νεκρωθοῦν ὅμως γιὰ τὴν ἁμαρτία, μόνον ἐκεῖνοι, οἱ ὁποῖοι, μὲ τὴν διάθεσί [τους, ἐξ ὅλης καρδίας], μίσησαν αὐτήν.

79. Ποιὸς νὰ εἶδε τὸν ἑαυτόν [του] γυμνὸ ἀπὸ τὴν ἁμαρτία πρὶν ἀπὸ τὸν κοινὸ [γιὰ ὅλους] θάνατο τοῦ σώματος; Καὶ ποιὸς [εἶναι] ἐκεῖνος, ὁ ὁποῖος γνώρισε τὸν ἑαυτόν του καὶ ἐπίσης, καὶ τὴν φύσι του, ποιὰ εἶναι, πρὶν ἀπὸ τὴν μελλοντικὴ γύμνωσι;

ΜΕ ΤΟΝ ΑΚΟΛΟΥΘΟ ΤΡΟΠΟ,
ΓΝΩΡΙΖΕΙ ΝΑ ΣΥΝΑΡΜΟΖΗ
ΜΕ ΤΟΝ ΝΥΜΦΙΟ [ΧΡΙΣΤΟ], Η ΕΥΧΗ,
ΤΗΝ ΠΛΗΓΩΜΕΝΗ ΑΠΟ ΤΟΝ ΕΡΩΤΑ ΓΙΑ ΤΟΝ ΝΥΜΦΙΟ ΨΥΧΗ.

80. Ἡ λογικὴ ψυχή, ἐπειδὴ βρίσκεται στὸ μεθόριο καὶ τοῦ αἰσθητοῦ καὶ τοῦ νοεροῦ φωτός, διὰ μὲν αὐτοῦ [τοῦ αἰσθητοῦ φωτὸς] ἐπετράπη [σ᾽ αὐτὴν] νὰ κατορθώνῃ τὰ [ἔργα] τοῦ σώματος. Δι᾽ ἐκείνου δὲ [τοῦ νοητοῦ φωτὸς νὰ κατορθώνῃ] τὰ [ἔργα] τοῦ πνεύματος. Ἀλλά, ἐπειδή, ἀφ᾽ ἑνὸς ἀμαυρώθηκε σ᾽ αὐτὴν ἐκεῖνο [τὸ νοερὸ φῶς], ἀφ᾽ ἑτέρου [ἐπειδὴ] αὐτὸ [τὸ αἰσθητὸ φῶς] ἔγινε εὐδιάκριτο, ἐξαιτίας τῆς, ἐξ ἀρχῆς [τῆς ἀνθρώπινης ἱστορίας μετὰ τὴν πτῶσι], ἐγγυτάτης σχέσεως [τῆς ψυχῆς μ᾽ αὐτό], δὲν δύναται [ἡ λογικὴ ψυχὴ πλέον] νὰ ἀτενίζῃ, ἐξ ὁλοκλήρου, τὰ θεϊκὰ [πράγματα], ἐὰν μὲ τὸ νοερὸ [μέρος της], ὁλοκληρωτικά, δὲν ἑνωθῇ μὲ τὴν εὐχή[5]. [Εἶναι] δὲ ἀνάγκη νὰ μένῃ αὐτὴ [ἡ λογικὴ ψυχὴ] στὸ μεταίχμιο σκότους καὶ φωτός, ἀνάλογα, ἀφ᾽ ἑνὸς μὲ τὴν σχέσι, [ποὺ ἔχει] μ᾽ αὐτὸ [τὸ σκότος], ἀφ᾽ ἑτέρου ἀνάλογα μὲ τὴν φανέρωσι ἐκείνου [τοῦ φωτός].

πα΄. Ἔνδον τῆς κατὰ τὴν εὐχὴν στενῆς πύλης, νοῦς παθητικὸς οὐ δύναται εἰσελθεῖν, πρὸ τοῦ τὴν κατὰ σχέσιν ἀπολιπεῖν μέριμναν. Περὶ δὲ τὰ περισκήνια ἐκείνης, ὀδυνηθήσεται διαπαντὸς ἀσχολούμενος.

πβ΄. Συμπαραμενέτω τῷ νῷ ἡ εὐχή, ὡς ἐν ἡλίῳ ἀκτίς· ἧς ἄνευ αἱ κατ᾿ αἴσθησιν μέριμναι, οἷά τινες ἄνυδροι νεφέλαι περιπετώμεναι, τὸν νοῦν εἴργουσι τῆς οἰκείας λαμπρότητος.

πγ΄. Δύναμις μὲν εὐχῆς πεῖνα βρωμάτων ἑκούσιος. Πείνης δέ, τὸ μήτε ἀκούειν, μήτε ὁρᾶν· ὅτι μὴ πᾶσα ἀνάγκη τῶν ἐγκοσμίων μηδέν. Τούτων ὁ μὴ ποιούμενος πρόνοιαν, τὸ μὲν τῆς νηστείας οὐκ ἐστερέωσεν οἰκοδόμημα, τὸ δὲ τῆς εὐχῆς ἐν αὐτῇ περιρραγῆναι ἐποίησεν.

πδ΄. Ἀπέριττος εἰ μὴ ἐκ πάντων ὁ νοῦς τῶν κατ᾿ αἴσθησιν γένηται, ἀνωφερὴς γενέσθαι οὐ δύναται, καὶ τὸ οἰκεῖον γνωρίσαι ἀξίωμα.

πε΄. Ἡμέρας μὲν σύμβολον ἡ νηστεία διὰ τὸ ἔκδηλον· νυκτὸς δὲ διὰ τὸ ἄδηλον ἡ εὐχή. Ἑκατέρων οὖν τούτων

81. Νοῦς συνδεδεμένος μὲ πάθη δὲν δύναται νὰ εἰσέλθῃ ἐντὸς τῆς στενῆς πύλης τῆς εὐχῆς, προτοῦ νὰ ἐγκαταλείψῃ τὴν μέριμνα, ἀπὸ τὴν σχέσι [πρὸς τὸ πάθος]. Ἀντιθέτως, ἐὰν ἀσχολῆται μὲ ὅσα περικλείουν αὐτήν [τὴν ἐμπαθῆ μέριμνα], πάντοτε θὰ ὑποφέρῃ.

82. Ἡ εὐχὴ ἂς παραμένῃ [ἑνωμένη] μὲ τὸν νοῦ, ὅπως ἡ ἀκτίνα μὲ τὸν ἥλιο· [διότι] χωρὶς αὐτὴν [τὴν εὐχή], οἱ μέριμνες, ποὺ ἀφοροῦν τὴν αἴσθησι, ἀποκλείουν τὸν νοῦ ἀπὸ τὴν λαμπρότητά του, ὅπως τὰ αἰωρούμενα ὁλόγυρα ἄνυδρα σύννεφα [ἀποκλείουν τὴν λαμπρότητα τοῦ ἡλίου].

83. Ἡ μὲν δύναμι τῆς εὐχῆς [εἶναι] ἡ ἑκούσια πεῖνα τῶν φαγητῶν. Ἡ δὲ [δύναμι] τῆς πείνας [εἶναι] τὸ οὔτε νὰ ἀκούῃ, οὔτε νὰ βλέπῃ [κανείς, δηλαδή, τὸ νὰ ἀποφεύγῃ τὴν πρόκλησι τῆς αἰσθήσεως]· διότι ἀπὸ τὰ ἐγκόσμια τίποτα δὲν [εἶναι] ἀπόλυτος ἀνάγκη. Ἐκεῖνος, ὁ ὁποῖος δὲν προνοεῖ γι᾿ αὐτά, [δηλαδὴ γιὰ τὸ νὰ μὴν ἀκούῃ καὶ νὰ μὴν βλέπῃ, δὲν προνοεῖ γιὰ τὴν φυλακὴ τῶν αἰσθήσεων], ἀφ᾿ ἑνὸς δὲν ἑδραίωσε τὸ οἰκοδόμημα τῆς νηστείας, ἀφ᾿ ἑτέρου τὸ [οἰκοδόμημα] τῆς εὐχῆς μέσα σ᾿ αὐτὴ [τὴν νηστεία τὸ] ἔκανε νὰ θραυστῇ ἀπὸ παντοῦ.

84. Ἐὰν ὁ νοῦς δὲν γίνῃ ἐλεύθερος [ἀπαλλαγμένος, ἀδέσμευτος] ἀπὸ ὅλα ὅσα ἀφοροῦν τὴν αἴσθησι, δὲν δύναται νὰ ἀποκτήσῃ ἀνοδικὴ πορεία [πρὸς τὸν Θεὸ] καὶ νὰ γνωρίσῃ τὸ δικό του [θεῖο] ἀξίωμα.

85. Σύμβολο μὲν τῆς ἡμέρας [εἶναι] ἡ νηστεία, διότι [χαρακτηριστικό της εἶναι νὰ καθίσταται] φανερή· [σύμβολο] δὲ τῆς νύκτας [εἶναι] ἡ εὐχή, διότι [χαρακτηριστικό της εἶναι νὰ παραμένῃ] ἀφανής. Ἐπομένως, ἐκεῖνος, ὁ ὁποῖος μετέρχε-

